# THEODORI STUDITAE EPIGRAMMATA

recensuit

ANTONIUS GARZYA

## Praefatio

1. Theodori Studitae epigrammata, seu iambi de variis argumentis his, qui sequuntur, libris manu scriptis, mihi quidem notis, continentur[1].

***A.** *Lutetia Parisiorum*, Bibliotheca Nationalis. Cod. Par. gr. 1018 (Colbert. 4779), s. X, ff. 316r - 319v; continet epp. 8, 3-21, 1, 88-94, 15.

***N.** *Neapolis*, Bibliotheca Nationalis « Vittorio Emanuele III ». Cod. Neap. gr. II. B. 20 (LIV), a. 1026, ff. 204r - 213v; epigrammata exhibet 1-60, 94, 97-101, 111, 103, 95, 128.

***Ma.** *Venetiae*, D. Marci Bibliotheca Nationalis. Cod. Marc. gr. CXLI (=487), s. XI, ff. 248v - 259v; iamborum seriem amplissimam complectitur, quippe qui unus praebeat huius editionis numeros 106-110, atque ep. 129, vv. 9-31, qui omnes nunc primum eduntur.

**B.** *Athos*, Bibliotheca Mon. Panteleemonos. Cod. Ath. Pant. 5543, 37, s. XI, ff. 223v - 232r; epigrammata servat ab 1 usque ad 68, 1, aliquibus, ut videtur, exceptis.

***M.** *Messana*, Bibliotheca Universitaria. Cod. Mess. gr. 83 (Sct. Salvatoris), a. 1105 in Italia meridionali exaratus, ff. 298v -302r (alias 299v - 303r); epp. 1-24, 95, 128.

**D.** *Athos*, Bibliotheca Mon. Dionysii. Cod. Ath. Dion. 3623, 89, s. XII; epp. 1-7.

**E.** *Athos*, Bibliotheca Mon. Iberorum. Cod. Ath. Ib. 4458, 338, s. XII (?); epp. 1-30, exceptis quidem 8, 15, 19, 22-24.

***P.** *Lutetia Parisiorum*, Bibliotheca Nationalis. Cod. Par. gr. 893 (Reg. 2376), s. XIII; ff. 233v - 250v; epigrammatum seriem antehac

[1] Stellula appicta signantur libri quos vel oculis meis vel lucis ope depictos integre contuli, necnon Pn, quem v. d. Justus Monaco, a me rogatus, liberalissime inspexit, atque Va, de cuius natura atque indole me certiorem fecit Emerentiana Vaccaro, Bibliothecae Vallicellianae moderatrix.

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

vulgatam[1] in totum tradit, i.e. editionis huiusce nn. 1-105, 111-129, 8.

**F.** *Athos,* Bibliotheca Mon. Chilantarii. Cod. Ath. Chil. 224, 3, s. XIII.

**G.** *Athos,* Bibliotheca Mon. Laurae. Cod. Laur. 1398. K. 111, s. XIV, f. 224r, ep. 2, 1-2.

**H.** *Athos,* Bibliotheca Mon. Laurae. Cod. Laur. 631. E. 169, s. XV; ff. 295r-300v; iamborum seriem per alphabetum descriptam continet, adversus iconomachos, de qua v. infra ad cod. T.

***Pn.** *Panormus,* Bibliotheca Comunalis. Cod. Panorm. gr. 2 Qq-B-123 (5), s. XVI; ff. 49-58v, 66rv; epp. 1-60, 94, 97-101, 111, 103, 95, 128.

***C.** *Lutetia Parisiorum,* Bibliotheca Nationalis. Cod. Coisl. gr. 272 (olim 327), s. XVI; f. 213rv; epp. 3-5, 7.

***Va.** *Roma,* Bibliotheca Vallicelliana. Cod. Vall. gr. CXLII (217), s. XVI(?), N. Allatii, fasciculo 51 (=ff. 388-389) inter alia variorum insertum habet ep. 72.

***V.** *Vaticanus,* Bibliotheca Apostolica. Cod. Vat. gr. 700 (olim 847), s. XVIm (filigr. 7929 Briquet), ff. 234v-238r; epp. 1-60, 94, 97-101, 111, 103, 95, 128.

**I.** *Lutetia Parisiorum,* Bibliotheca Nationalis. Cod. Par. gr. 896 (Baluz.-Reg. 2376, 2), s. XVII; ff. 529-549; epp. 124, ut in P, latina versione donata exhibet, ex quodam editoris principis apographo veri similiter descripta, manu Joannis B. Cotelier.

**L.** *Athos,* Bibliotheca Mon. Esphigmeni. Cod. Ath. Esph. 2112, 99, s. XVIII.

**O.** *Athos,* Bibliotheca Mon. Panteleemonos. Cod. Ath. Pant. 6122, 615, s. XIX, ff. 56r-58v.

**Q.** *Athos,* Bibliotheca Mon. Panteleemonos. Cod. Ath. Pant. 6161, 654, s. XIX; ff. 179r-182v.

**T.** *Taurinum,* Bibliotheca nunc Nationalis. Cod. Taur. gr. CCXII. *b.* III. 23, s. XVI; periit incendio a. 1904; ff. 116v sqq. continebat «jambicos aliquot versus, quos frustra inter jambos de variis argumentis quaesiveris, quos protulit Sirmondus» quosque Josephus Pasini, Bibliothecae Regiae catalogi confector, graece-latine edidit[2].

---

[1] Cf. Migne, *PG* t. XCIX, coll. 1779-1812, qui ex editore principe, de quo infra dicetur, totus fere pendet, iambosque exhibet CXXIV.

[2] Cf. J. Pasini, *Codices Manuscripti Bibliothecae Regii Taurinensis Athenaei,* Taurini, I, 1749, pp. 305 sqq.

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

De duodesexaginta versibus agitur in iconomachos, per duas series distinctis, quarum altera per alphabetum, quae eadem in cod. H servatur. Longiora sunt carmina quam ut pro epigrammatis proprie vereque dictis habeantur ideoque ab antiquo e iamborum collectione sunt seiuncta. Hic appendicis more collecta emendataque par denuo visum est proferre.

Ad calcem nostri librorum indicis ut perveniamus, memoriae gratia tantum sunt laudandi tres alii, qui Theodori iambos complectebantur, codices nunc deperditi, duo quidem Matritenses, in Scorialensi Bibliotheca olim adservati [1], unus Taurinensis, de quo Pasini [2] mentionem facit.

Epigrammatum editionem principem (*s*) a Jacobo Sirmond (1559-1652) confectam, ex eius apographis, cum ille obiisset, edendam curavit Jacobus de La Baune, tomo quinto 'operum variorum' viri doctissimi insertam [3].

2. Cum in commentatione nostra, quae inscribitur 'La tradizione manoscritta degli epigrammi di S. Teodoro Studita' [4], cum codicibus attente describendis atque recensendis tum affinitatibus necessitudinibusque inter eos intercurrentibus accurate examinandis, operam nec levem insumpserimus, in hac praefatione exaranda omnia, quae iam disputavimus, delibare tantum licebit, ne in cassum res iterum referantur.

Epigrammatum memoriam in universum intuenti, eam ad unum librum archetypum (*α*) redire clare planeque liquebit, si hosce errores cunctis libris communes perpenderit; 27, 9 *ἆλλος* pro *ἀλός*; 31, 1 *λαμβάνομεν* pro *λαμβάνωμὲν*; 48, 2 *καθεῖλα* pro *καθεῖλε*, ibid. *παντάπαξ* pro

[1] De quibus videsis Miller, *Catalogue des Manuscrits grecs de la Bibliothèque de l'Escurial*, Paris, 1848, pp. 379, 306; Fabricius-Harles, *Bibliotheca Graeca*, X, Hamburgi, 1807, p. 435, r.

[2] *O.l.*, p. 382.

[3] Jacobi Sirmondi S. J. Presbyteri, *Opera Varia, Tom. V. Sancti Theodori Studitae Epistolae aliaque scripta dogmatica — Graece et Latine — pleraque Sirmondo interprete*, Parisiis, e Typographia Regia, MDCXCVI (etiam Venetiis, e Typographia Bartholomaei Javarini, MDCCXXVIII). Iambi occupant paginas in Parisina 753-776, in Venetiana 597-618. Paucos Theodori versus est admonendum editorem principem iam ante Sirmondum invenisse doctissimum Du Cange qui in *Glossario* suo mediae et infimae Graecitatis (1688) sub aliquot verbis seu insuetis seu novis, ut, ex. gr., *κελλαρίτης*, *ἀριστητάριος*, etc., epigrammata descripsit, e codice quodam, ut ait, Thuaneo, verba illa continentia.

[4] Cf. « Bollettino della Badia Greca di Grottaferrata » n.s. XI (1957), pp. 139-156.

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*παντάναξ*, necnon, quamvis minoris videantur esse momenti, 12, 6 *πυράς* pro *πεῖρας*; 17, 3 *σιτῶν* pro *σίτων*; 94, 13 *ὅπερ* pro *ὥπερ*. De archetypi aetate autem hoc conicere licet, eum paulo post Theodori mortem (a. 826 p. Chr. n.), cum quidem cursivae, quae dicuntur, litterae nondum erant omnino pervulgatae, nec unciales omnino exoletae, esse exaratum, ut ex 14, 3 ubi V$^{ac}$ *δουδευτικόν* loco *δουλευτικόν* (*Δ* scil. pro *Λ*) exhibet, elicere par est.

Ex archetypo *a* tres codicum familiae vel classes discesserunt, quarum primam stirpem Messanensem, alteram Neapolitanam, tertiam Venetam, cognominare statuimus. Genus Messanense solus liber M repraesentat exprimitque, genus Neapolitanum contra codicibus innititur NPnV (quorum consensus littera *x* enotabitur), Venetum libris AMaBPCVa, quos omnes littera, cum congruantur, *y* designabimus.

Qua de triplici distinctione nihil esse quod addubitemus, manifestum apparet ex erroribus vel lectionibus, a nobis suo loco collectis, quibus unaquaeque stirps a ceteris separatur. Quod ad M attinet, his, qui enumerantur, locis praecipuis suus omnino est nec cum alio ullo facit: 2, 4 *δή*; 5, 2 *κλῖνον*; 6, 10 *εὐτόνως*, 6, 11 *ἐκ νόμου*; 10, 5 *σκοπόν*, 10, 9 *ἤ* (pro *μὴ*[2]); 11, 10 *δικαίως*; 13, 8 *τραπέζης*, 13, 11 *τελεία*; 15, 3 *ἀγὼν ἐν τούτῳ οὐ μικρὸς ὑμῖν πέλει*; 16, 8 *κυρίου*, 16, 12 *ποιῶν*; 21, 8 *προσευχῶς*; 22, 2 *καὶ μάχας*, 22, 6 *τοῖς*... (pro *μὲν... δὲ*); 24, 3 *κρωνοί*, 24, 5 *πορνείας*. Familiae *x* lectiones coniunctivae sunt autem haece: 1, 3 *κἀκείνης* (cum M contra cett.); 5, 9 *ὁδὸν* (cum M); 6, 12 *αὔξων* (cum M); 17, 2 *τέκνον*; 31, 13 om.; 97, 11 *φεύγοντες*; 99, 4 *τ' αὕτη*; 111, 8 *ἀγαθῶν*. Stirps *y* demum hisce singularibus distinguitur variantibus lectionibus: 1, 3 *ἐκείνη*; 4, 7 *τύπον καλῶν τρόπων* (cum M); 5, 9 *οὐδόν*; 6, 12 *ἄξων*; 17, 2 *τεκνίον*; 41 tit. *εἰς ἐνδυτήν*; 47, 1 *ἔχων με*; 58 tit. *ἐπιγράμματα μονόστιχα εἰς σταυρούς*; 97, 11 *φυγόντες*; 99, 4 *ταύτη*; 111, 8 *ἀνθ' ὧν*.

Inter codices stirpis *x* primas N obtinere nemo est quin animadvertat, si paulum modo consideret Pn Neapolitani esse apographum ideoque eliminandum, V autem librum compositum ac contaminatum qui cum e fonte suo principe, *x* dico, hausit, tum ex altero qui a stirpe Messanensi haud dubie manat [1].

---

[1] Quo omnia, quae disseruimus, tibi melius ante oculos pateant, en, quaeso, singillatim cf. 8, 6 s. *συμπαθῶς, οἰκτιρμόνως, βουλευτικῶς τε* om. (homoeot. gr.) NPn, exh. V; post 8, 9 repet. 8, 7 NPn tantum; 47, 1 *φέρων* NPn, *φόβων* V; 4, 7 om. NPn, exh. V; 46, 1 *θεοῦ* om. NPn, exh. V; 98, 3 *καὶ* NPn, *πως* V; 4, 8 *ἔση* MV; 11, 2 *ταξιάρχης* MV; 13, 5 *ἀξιοῖ* MV; 21, 5 *ἄρα*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

Ex hypoarchetypi *y* ramis, nullum ex alio adhuc exstante libro pendere licet demonstrare[1] omnesque per se ipsi sunt sumendi. Duo tamen, A et Ma, eundem antigraphum habuisse, quod *z* littera notatur, ex aliquibus coniunctivis patet erroribus, ut, ex. gr., 92 tit. *εἰς ῥάκκος ἰστοριςμένον* AMa : *εἰς ῥάκος ἱστορημένον P*.

Cum de libris manu scriptis deque eorum cognatione quae maxime videbantur oportere exposuerimus, reliquitur ut de editionis principis (*s*) ratione atque pondere breviter dicamus. Eam postumam in lucem protulisse Jacobum de La Baune supra commemoravimus. In praefatione sua vir ille eruditissimus lectorem certiorem facit se apographis Jacobi Sirmond, qui codicem Regium 2376, nunc Parisinum 893, seu P nostrum, descripserat, usum esse plerumque, nonnullis tamen locis exceptis, ubi ipse lectionem inseruit ex 'aliquot Vaticanis exemplaribus' desumptam, quae Franciscus Card. Barberinus Petri Arcudii manu transcribi siverat transscriptaque Lutetiam mitti. Plures igitur editioni principi exstiterunt fontes, quorum unus est, ut supra dictum, P, alter Vaticanus noster V[2], tertius codex alius ac PV, quem nos frustra adhuc recognoscere sumus conati. Istius haud recogniti vel deperditi libri manu scripti lectiones praecipuae nobis ex *s* tantum, vel in textum receptae vel in margine appictae, nec aliunde[3] notae, hae sunt hic recensitae: $s^t$ 10, 2 *σάλπιγξ*; 15, 11 *διδόντος*; 17, 6 *σίτων*; 20, 1 *πόνων*; 22, 3 *τό*; 23, 9 (bis) om.; 28, 10 *ἄξιος*; 30, 5 *ταύτην δ τοίνυν* (pro *ὁ τοί. ταύ.*); 32 tit. (et alibi) *ἄλλο*; 33, 1 *ἐνθάδε*; 41, 7 *θεοτόκῳ*; 48, 2 *καθεῖλε*; 62, 4 *λῦσαι φθάνεις* (pro inverso ordine); 67,

---

MV; 23, 8 *δὲ* MV. Alterum codicis V antigraphum non M ipsum sed alium eiusdem generis testem fuisse ex hisce elucet locis, ubi V pro se stat exque M discedit: 4, 7 *τόπον καλῶν ἔργων*; 11, 10 *σωφρόνως* (dittogr.); 24, 7 *μέγα*; 25,2 *φεροταγοῦς*; 29, 5 *τρέφοντος*; 31, 1 *λαμβάνοντες*; 128, 1 *χρυσομαργάρῳ*.

[1] P ex Ma manasse, quae est Veneti vetustas, tecum forsitan coniectes. At, ut tibi, rem aliter se habere, persuasum habeas, animadverte, si placet, quomodo P a Ma separetur: 6, 10 om. Ma (homoeot.) exh. P; 8, 4 om. Ma (hom.) exh. P; 10, 5 *τροχὸν* Ma *στοχὸν* P; 67, 1 *δακρύων* Ma *δογμάτων* P; 90, 4 *ἔνδον* Ma *ἄνω* P. Nec lectorem benignum admoneamus oportet — supervacaneum enim esse videtur — de gravissima, sub textus finem, in P lacuna, codici Ma ignota.

[2] Cf., sis, $s^t$V in 24, 7, 25, 2, 3, 27, 7, 94, 8, 99, 4 (cum N quoque) 111, 8 (cum N); $s^m$V in 31, 3, 98, 3, 128, 1; etiam v. aliquot locos ubi *s* cum M facit: 2, 4, 5, 2, 7, 9 (cum N quoque), aliquot ubi cum N: 10, 5, 31 tit., 98, 3.

[3] Nonnullae vero harum lectionum Jacobi vel Sirmond vel de la Baune, virorum Graeca lingua peritissimorum, divinationi procul dubio sunt tribuendae: quae autem sint, discernere non est quomodo possimus.

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

3 *τὰς* om.; 80 tit. *δαλμάτιον*, 80, 3 *ἀμπέφηνας*; 82, 3 *δή*; 84 tit. *ἅγιον*; 85 tit. *ὅσιον*; 86 tit. *ναῦν*; 90, 4 *θεσμάτων*; 92, 3 *ξένος*; 96, 8 *μόνην*; 102, 4 *φέγγος* (an cum Ma?); 111, 7 *ἐμβλέπων*, 111, 8 *θεωρί*; 115, 1 *χορτάσει*; 120, 4 *τό*; 121, 8 *εὐδωθεῖσαν*; sm 2, 8 *πρόσνευσον*; 12, 6 *πείρας*; 27, 9 *ἁλός*; 31, 1 *λαμβάνωμεν*; 128, 2 *πάλει*; 129, 8 *ἐσθλοῖσι*. Cum autem *s* lectiones quasdam variantes una tradiderit, pro codice, contaminato quidem atque interpolato, est habenda, utpote quae textus nostri memoriam, pro parte sua, illa quoque servarit.

3. Ne epigrammatum memoria imperfecte adumbretur nec inchoata rudisque imago eius relinquatur, perpauca, quippe quae a latere tantum ad rem attineant, addere necessest de carminibus in variis codicibus excerptis, nec una simplicique ratione, atque collectis. Theodori iambi in tria, nobis quidem nota[1], corpora videntur esse congregata, quae graecis litteris *β*, *γ*, *δ*, notabimus. Collectio *β* epigrammata tantum 1-29, eademque de monachorum officiis, amplectebatur inscribebaturque *παραγγελίαι ἔγγραφοι διὰ στίχων ἰάμβων*[2]; series *γ* contra iambos continebat a primo usque ad sexagesimum, additis, et hoc ordine, numeris huius editionis 94, 97-101, 111, 103, 95, 128; cuius seriei testimonium nec ambiguum nobis afferunt libri NPnV necnon M, ubi pericopa 95-128 deprehenditur. Amplissima autem, quae priores ambas incluserit plurimosque alios acceperit iambos, exstat series tertia, i.e. *δ*, e tribus ordinibus minoribus constans: de monachorum officiis (1-29), contra iconomachos (30-60), de sanctorum laudationibus (61-93), aliis nonnullis de variis argumentis iambis sub finem subiunctis (94-128). Hanc seriem integram tradidit Ma unus, maximam partem servavit P, per excerpta tantum superstitem in ABVa deprehendimus. Eam non poetae ipsi sed monacho cuidam Studii monasterii — fortasse etiam Naucratium illum qui vicarius Theodori muneri, post eius mortem, successit — esse tribuendam ex eo facile argueris, quod ep. 129 Theodoro dicatur.

4. Haec omnia de epigrammatum memoria posita uno obtutu intueri possumus hocce stemmate expressa.

---

[1] Quarta iamborum quoque series videtur exstitisse (cf. *Vitam* infra laudatam, p. 28), ad biblicam materiem attinens, e vetere Testamento plerumque desumpta. Quae epigrammatum corpori inserta non est, quoniam probabiliter ex longioribus constabat carminibus, eiusdem fere generis ac iambi contra iconomachos scripti, de quibus supra mentionem fecimus, p. 12 sq.

[2] Cf. Michaelis Monachi Vitam Scti. Theodori Studitae ap. Sirmondi, *o.l.*, p. 25 sq. Istius collectionis «β» vestigium veri similiter exstat in libro E.

30 - 6 - 1958

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94




Ad textum, ut dicunt, critice constituendum, hoc schemate codicum usus poterit adumbrari:

α = M*xy* vel M*x* vel M*y* vel *xy* (cum tres rami omnes praesto sint);
α = *xy* vel N*y* (vel, reservatis quidem reservandis, V*y*) vel P (B, C, Va) *x* vel *zx* vel Ma*x* vel A*x* (cum M desit);
α = M*y* vel M*z* vel MP (B, C, Va), cum *x* absit;
α = *y* vel AP (B, C, Va) vel MaP (B, C, Va) vel *z*P (B, C, Va), cum M*x* non sint praesto.

Cum autem M, *x*, *y* unusquisque secum faciat, vel cum congruant inter se varie commiscentes hypoarchetiporum variorum rami inferiores, archetypi restitutio tum incertam se praebebit iudicioque tantum philologorum innitatur oportebit.



Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

## Sigla

A = Par. gr. 1018, s. X
N = Neap. gr. II B. 20, a. 1026
Ma = Marc. gr. CXLI, s. XI
B = Ath. Pant. 5543, 37, s. XI
M = Mess. gr. 83, a. 1105
P = Par. gr. 893, s. XIII
Pn = Panorm. gr. 2 Qq - B - 123, s. XVI
C = Coisl. gr. 272, s. XVI
Va = Vallicell. gr. CXLII, s. XVI (?)
V = Vat. gr. 700, s. XVI$^{m}$
*s* = *editio princeps*, a. 1696

H = Ath. Laur. 631. E. 169, s. XV
T = Taur. gr. CCXII, s. XVI

*α* = archetypum
*x* = codicum NPnV consensus
*y* = codicum AMaBPCVa consensus
*z* = AMa consensus

l(iber)$^{c}$ = l(iber) ex correctione
$l^{ac}$ = l ante correctionem
$l^{pc}$ = l post correctionem
$l^{m}$ = l in margine ($l_{t}$ = l in textu)
$l^{sl}$ = l supra lineam ($l_{l}$ = l in linea)
$l^{ras}$ = l in rasura
$l^{prob}$ = l probabiliter

*Mi* = M i g n e, *PG*, t. XCIX, coll. 1779 - 1812.
*Trad* = A. G a r z y a, *La tradizione manoscritta degli epigrammi di S. Teodoro Studita*, « Bollettino della Badia Greca di Grottaferrata », n.s. XI (1957), pp. 139 - 156.

Conspectus codicum in singulis carminibus praesentium

| | | | | | | | |
|---|---|---|---|---|---|---|---|
| 1 - 2 | M | NPnV | MaP | 95 | M | NPnV | MaP |
| 3 - 5 | M | NPnV | MaPC | 96 | | | MaP |
| 6 | M | NPnV | MaP | 97 - 101 | | NPnV | MaP |
| 7 | M | NPnV | MaPC | 102 | | | MaP |
| 8 - 20 | M | NPnV | AMaP | 103 | | NPnV | MaP |
| 21 - 24 | M | NPnV | MaP | 104 - 105 | | | MaP |
| 25 - 60 | | NPnV | MaP | 106 - 110 | | | Ma |
| 61 - 71 | | | MaP | 111 | | NPnV | MaP |
| 72 | | | MaPVa | 112 - 127 | | | MaP |
| 73 - 87 | | | MaP | 128 | M | NPnV | MaP |
| 88 - 93 | | | AMaP | 129, 1 - 8 | | | MaP |
| 94 | | NPnV | AMaP | 129, 9 - 31 | | | Ma |

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

# Theodori Studitae Iambi de variis argumentis

## ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΣΤΟΥΔΙΤΟΥ
## ΙΑΜΒΟΙ ΕΙΣ ΔΙΑΦΟΡΟΥΣ ΥΠΟΘΕΣΕΙΣ

### I.

***εἰς τὰ λείψανα τῶν ἁγίων μαρτύρων.***

*Χάριν βρύουσαν θείαν ἐν τοῖς λειψάνοις*
*πᾶς τις συλήσει πίστιν αἱμόρρουν φέρων.*
*Ψαύων γὰρ αὐτῶν, ὡς κἀκείνη κρασπέδου,*
*ῥώσειε σῶμα, καὶ ψυχὴν ἁγιάσει.*

1 *βρύω* intr. Hom., Jos. ant. 13, 66 Or. Sib. 6, 8 : trans. Him. IX 230 Col. 2 *συλάω* Hom. : hic cf. Paul. 2 Cor. 11, 8 *αἱμόρρουν* cf. *αἱμορροέω* Hippocr. : Matth. 9, 20 ( *-οοῦσα* ) 3 *κράσπεδον* Trag. Xen. *LXX* : 'vestis ora' Theocr. II 53 Ath. IV 159d ; alit. Deut. 22, 12 : pap. mag. 7, 371 Preis. *ἐξάψας κράσπεδον τοῦ ἱματίου σου* Matth. 9, 20 *ἥψατο τοῦ κ. τοῦ ἱματίου αὐτοῦ* cf. Luc. 8, 44 Matth. 14, 36 Marc. 6, 56 4 *ἁγιάζω* *LXX* Phil. leg. all. 1, 18 : vulg. *-ίζω*

3 *κἀκείνη* M*x* : *ἐκ-* *y*

### II.

***εἰς τὴν κέλλαν τοῦ Πατρὸς ἡμῶν.***

*Θρήνει με, κέλλα, σχοῦσα νωθρὸν ἐργάτην,*
*μόνον κάκιστον ὧνπερ ἔσχες κτητόρων.*
*Οὐ λαμπρύνω σε τῶν προσευχῶν τῷ φάει,*
*οὐ δὴ πιαίνω τῇ ῥοῇ τῶν δακρύων,*
*οὐδ᾽ αὖ καθαίρω τῆς ἁγνείας τοῖς τρόποις.*
*᾽Αλλ᾽ οὖν σύ, Σῶτερ, Κτίστα, Φωστὴρ τῶν ὅλων*
*ἔγειρον, ἐξύπνισον εἰς τὸν σὸν φόβον·*
*πρόσγευσον εἰς ἔρωτα τῆς σῆς ἀγάπης,*
*πτέρωσον ἀρθῆναί με τῶν παθῶν ἄνω,*
*ἕως πάρεστι καιρὸς εἰς εὐπραξίαν·*
*ἵνα προσοίσω δόξαν εὐχαριστίαν*
*σοι τῷ θέλοντι πᾶσι τὴν σωτηρίαν.*

1 *κέλλα* Basil. *PG* 29, 1636c 6 *Φωστὴρ* *LXX* Gen. 1, 4 Esdr. 1, 8, 76

4 *δὴ* *xy* : *δὲ* Ms 8 *πρόσγευσον* M*xy* : *-νευσον* sm

---

TITVLUS : *τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ θεοδώρου ἡγουμένου τῶν στουδίου* ( *τοῦ στ.* V *τῶν στουδίων* Pn ). *ἴαμβοι* ( *στίχοι ἵ.* E ) *εἰς διαφόρους ὑποθέσεις* ME*x*PMa desunt ACVa

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

## III.

### εἰς ἀποτασσομένους.

Ἄνδρες βροτοί, φύγωμεν ἐκ κόσμου πλάνου,
Χριστὸς καλεῖ, δράμωμεν· εὔπλους γὰρ βίος,
ζάλης, μεριμνῶν καὶ στροφῶν ὑπερπλέων·
φροντὶς γὰρ αὕτη τῷ μοναστῇ, καὶ μόνον,
τυχεῖν ἐκείνου τοῦ γαληνοῦ λιμένος,
ἐν ᾧ πέπαυται τῶν λυπηρῶν πᾶς πόνος.
Ὢ πῶς πάνυμνος ὁ ξένος τούτων βίος.
Καὶ τίς φρόνιμος πραγματευτὴς κερδάνων,
ὃς πάντ' ἀφεὶς ἕλοιτο τὸν σταυρὸν φέρειν;

7 *πάνυμνος* ἅπ. λεγ.: idem ac *πανύμνητος* Method. *PG* 18, 352b / *ξένος τινός* Soph. *OR* 219 Heliod. X p. 330, 24 Col. Paul. Eph. 2, 12  8 *πραγματευτής* lat. 'actor': Plut. II 525a Nil. ep. *PG* 79, 2, 269

8 *κερδάνων*: pro *-νῶν* ut vid. παροξυτονήσεως causa (cf. *-νέω* Herod. I 35, *-νῶ* fut. Ar. nub. 259; infra 108, 7).

## IV.

### εἰς ἡγούμενον.

Οἷόν περ ὕψος τῆς προεδρίας βλέπων,
κατ' ἀξίαν πρόσβαινε τῷ βαθμῷ τρέμων.
Εἵλου γὰρ ἔργον κινδύνων πολλῶν γέμον,
πολλῆς μερίμνης, οὐδὲ μικρᾶς φροντίδος.
Σκόπει, προμηθοῦ γρηγόρως οὓς ἐξάγεις,
μή σου συληθῇ θρέμμα πως ἀπειρίᾳ,
σαυτὸν τεθεικὼς εἰς τύπον καλῶν τρόπων.
Εἴσῃ γὰρ εἰδώς, ὡς ὑφέξεις τὸν λόγον,
ὅταν καθεσθῇ Χριστὸς εἰς πάντων κρίσιν.

tit. *ἡγούμενος* Justin. nov. 7, 1  2 *κατ' ἀξίαν* scil. *ὁδόν*: cf. Plat. Lys. 203a *ἐπορευόμην τὴν ἔξω τείχους*  7 *τέθεικα* PCair. Zen. 324 Strab. I 2, 23 (*προσ-*) / *τύπος τῶν χαρακτήρων* Plut. II 577f cf. hic. Paul. 1 Thess. 1, 7 *LXX* ex. 25, 39 (40)  8 *λόγον ὑπέχειν* Xen. mem. IV 4, 9  9 *καθεσθῇ* (*-εἰς AP* IX 644, 5): *ἐν τῷ συνεδρίῳ κ.* Luc. 2, 46.

7. om. N / *τεθεικώς* Ny: *-ηκ-* MV / *τύπον καλῶν τρόπων* My: *τόπον καλῶν ἔργων* V *καλῶν ἔργων τύπον* s  8 *εἴσῃ* Ny: *ε-* MV

## V.

### εἰς ὑποτακτικόν.

Δεῦρ' ἐλθέ, πύκτα, δεῦρό μοι στῆθι ζέων,
τοὺς αὐχένας σου κλίνων εὐεπηκόως,

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

ὅλος ταπεινός, νεκρὸς ὢν ἐν τῷ θέλειν·
πᾶν ἐνθύμημα φανερῶν τῆς καρδίας,
ὡς ἂν τελείως ἐμμένῃς τῷ σταδίῳ.
Μή σ' ἐκφοβεῖτο μήτ' ἔρημος, μὴ στύλος,
μήτ' ἄλλο τάγμα τῶν θεοδρόμων βίων.
Προὔχεις ἁπάντων, ὡς θεογράφως ἔχει·
τοῦ μαρτύρων πρώτου γὰρ οὐδὸν ἀνύεις.

tit. *ὑποτακτικός* Marc. erem. *PG* 65, 1093 1 *ζέων* 'a deo inflammatus': cf. Paul. Rom. 12, 11 *πνεύματι ζέοντες* 2 *εὐεπηκόως*: cf. Steph. in Hippocr. I 173 Dietz 3 *ὅλος τ.*: cf. Matth. 13, 33 Luc. 13, 21, 11, 36 *ἔσται φωτεινὸν ὅλον* (sc. *τὸ σῶμά σου*) 9; una cum verbo v. ibi 12, 4 4 *ἐνθύμημα ...τῆς καρδίας*: cf. *ἐνθυμέομαι ἐν ταῖς καρδίαις* *LXX* Sap. Sal. 9, 4 6 *ἔρημος* (i.e. *ἡ ἔ. χώρα*): Herod. III 102 *LXX* 7 *θεοδρόμων*: de vocis sententia cf. Paul. Gal. 5, 7 *ἐτρέχετε καλῶς κτλ.* 1 Cor. 9, 24-26, al. 8 *θεογράφως*: cf. *-ος* Philost. *PG* 65, 513a 9 *μαρτύρων πρώτου* i.e. Stephanus de quo v. 7, 1.

1 *στῆθι xy*: *-ει* M 2 *κλίνων xy* fere (*-ίνον V*): *κλῖνον* Ms 3 *ὅλος* codd.: an *-ως* scrib.? 6 *σ' ἐκφοβεῖτο* NP: *σ' ἐκφοβήτω* Ma *σε φοβεῖτο* V *σε φοβείτω* C *σε φοβῆτο* M 9 *οὐδὸν y*: *ὁ-* Mx c. metr.

## VI.

### εἰς τὸν τὰ δεύτερα φέροντα.

Μωσῆς μὲν ἄρχων, Ναυΐδης δὲ συνθέων,
εὐθὺς μετ' αὐτόν, ὡς παραστάτης ξένος.
Καὶ σὺ πρόσωπον δεύτερον στάσει πέλων,
πῶς τὴν ἀδελφότητα συγκρατεῖς, σκόπει·
ἡγοῦ, καθηγοῦ, καὶ συνασπίζου τόνῳ,
εἰρηνικῶς τε συμπαθῶς καὶ πραέως,
νόμους φυλάττων ἐκ Θεοῦ τοὺς κειμένους,
κρίσεις δικαίας ἐκφέρων ἀπροσκόπως·
νῦν μὲν συναλγῶν τοῖς κάμνουσιν ἐκ πάθους,
νῦν δὲ προθυμῶν τοὺς τρέχοντας ἐκ πόθου·
ἵν' ἀξιωθῇς ἐννόμου δημαρχίας,
ὡς αὐτὸς αὔξων τὸν λεὼν τοῦ Κυρίου.

1 *Μωσῆς* (pro *Μωϋσῆς* 74, 3) Diod. S. XL 3, 3 Or. Sib. *LXX* cf. Bl.-Debr. Gramm. ntl. Gr. 1950[8] § 38 Anh. 53, 1 / *Ναυΐδης*: filius Navae, Josua 8 *ἀπροσκόπως*: Pap. Giess. 79 IV, 8 1 ep. Clem. 20, 10 10 *τρέχοντας*: cf. ad 5, 7 11 *ἔννομος ἐκκλησία* act. Ap. 19, 39 cf. Procl. in Plat. Crat. 93, 5 P. qui *ἔν.* atque *ἔκνομος* oppon. / *δημαρχία* Dem. 57, 26 Plut. Fab. 9 ('tribunatus')

9 *πάθους x*P: *πόθου* MMa *πόθους* Vm 10 om. Ma / *ἐκ πόθου x*P (et veri simil. Ma qui homoeot. gr. totum versum om.): *εὐτόνως* M 11 *ἐννόμου x* fere (*ἐν ν.* Pn) *y*: *ἐκ ν.* M 12 *αὔξων* M*x* fere (*-ῶν* N): *ἄξων ys* / *λεὼν y*: *λαὸν* NM (*λεὸν* V) c. metr.

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

## VII.

### εἰς τὸν οἰκονόμον.

Ἔργον Στεφάνου, τοῦ στέφους τῶν μαρτύρων,
λαχών, ἐπάρχειν εἰς τὸ τὰς χρείας νέμειν
τῇ Χριστολέκτῳ τῶν ἀδελφῶν πληθύϊ,
δίδου κόπους σου τῷ Θεῷ καθ' ἡμέραν,
τηρῶν ἕκαστον ὡς μέλος σὸν ἐμπόνως·
οὐ γὰρ σχέσει τόν, τὸν δὲ μίσει καὶ φθόνῳ,
πάντων δ' ὁμοίως προβλέπων τὸ συμφέρον,
ὡς μὴ κινεῖσθαι τόν τινα πρὸς ἃ χρεών·
ἀλλ' ἐξ ἑαυτοῦ τὸ προσῆκον εἰσφέροις.
Ὡς ἂν πρεπόντως ἐκτελῶν σου τὸν δρόμον,
ἀπροσκόπως τε πανσθενῶς θεοφρόνως,
τὸν μισθὸν εὕροις ἥσπερ εἵλω φροντίδος.

1 cf. ad 12, 9 5 *μέλος* v. 10, 11; 13, 7: cf. Paul. Rom. 12, 5 *ἐσμὲν... ἀλλήλων μέλη* 1 Cor. 6, 15 / *ἐμπόνως* Macar. *PG* 34, 793b: cf. *ἔμπονος* Hippocr. aer. 12; alit. *LXX* 3 Macch. 1, 28 11 *ἀπροσκόπως*: v. ad 6, 8 / *πανσθενῶς*: cf. *πανσθενής* Cyr. A. *PG* 70, 1152d *πανσθενεί* Greg. N. *PG* 37, 408a / *θεοφρόνως* Jos. hymnog. 993a 12 *εἵλω*: cf. ep. gr. 314, 5 K. Paul. 2 Thess. 2, 13, v. l. in Ath. XII 546a (*ἀφ-*) *AP* IX 56 (*δι-*)

7 *προβλέπων* codd.: *προσβ-* s 9 *ἑαυτοῦ* MN: *αὐ-* Vy

## VIII.

### εἰς τοὺς ἐπιστημονάρχας.

Οἱ τῆς ἀδελφότητος ἐξειληφότες,
κρίσιν τε κρίνειν καὶ δίκαιον ἐξάγειν,
μὴ δὴ κατ' ὄψιν ἐξάγοιτε τὰς φάσεις·
μὴ προσπαθείᾳ μηδὲ μήνιδος χάριν,
μὴ προσφιλεῖ τε μηδ' ἀπεχθεῖ καρδίᾳ,
ἀλλ' ἠπίως τε συμπαθῶς οἰκτιρμόνως,
βουλευτικῶς τε μακροθύμως εὐτόνως·
τὸν νοῦν ἀκραιφνῶς ὀξύναντες, ὡς βέλος,
κατὰ σκοπὸν βάλλοιτε τοὺς εὐθεῖς λόγους.
Ὅπως τ' ἀληθὲς παντὶ θηρῶντες λόγῳ,
Θεῷ δικαίας προσφέροιτε τὰς κρίσεις.
Ὧ γὰρ κρινεῖτε, καὶ κριθήσεσθε τρόπῳ.

3 *κατ' ὄψιν κρίνειν* Johann. 7, 24 cf. Lys. XVI 19 *οὐκ ἄξιον ἀπ' ὄψεως... οὔτε φιλεῖν οὔτε μισεῖν οὐδένα, ἀλλ' ἐκ τῶν ἔργων σκοπεῖν* 7 *μακροθύμως* Act. Ap. 26, 3 8 *ἀκραιφνῶς* Phil. Belop. I 100 12 Matth. 7, 1 *ἐν ᾧ γὰρ κρίματι κρίνετε κριθήσεσθε* Paul. Rom. 2, 1 Marc. 4, 24: cf. Sext. sent. 183 Elt. *κρίνων ἄνθρωπον κρίνεται ὑπὸ τοῦ θεοῦ*; Paul. 1 Cor. 4, 5

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

3 *δὴ* om. MV 4 om. Ma 6 s. *συμπαθῶς* ∼ *β. τε* om. NPn 9 post hunc v. (et ante 10) inser. v. 7 NPn 11 *προσφέροιτε xy* : *-ητε* M

## IX.

### εἰς τοὺς ἐπιτηρητάς.

*Τάξει τεθέντες ὀμμάτων τοῖς συγγόνοις,*
*ὁρᾶτε καὶ τηρεῖτε πάντας εὐσκόπως,*
*ἐν ἡμέραις, ἐν νυξίν, ἐν μεσημβρίαις,*
*μήπου πρόσωπα τῶν νέων εἶεν δύο,*
*μήπου γίνωνται φατρίαι, συσκηνίαι,*
*παρρησιῶν ὄλεθρος, ἔργα τοῦ σκότους,*
*στρῆνοι, γέλωτες, ὕβρεως ἀταξίαι,*
*καὶ πᾶν πονηρὸν τοῦ Θεοῦ πόρρω φέρον·*
*ταῦτ' ἐκλαλοῦντες πυκνὰ τοῖς πρωτοστάταις,*
*ἀπροσπαθείᾳ, τῆς ἀληθείας λόγῳ,*
*τύχοιτε θείας ἀτρεκῶς ἐποψίας,*
*τὴν ἀντάμειψιν τῶν καλῶν ἐσχηκότες.*

tit. *ἐπιτηρητής ἅπ. λεγ.* 2 *εὐσκόπως ἅπ. λεγ.* 5 *φατρία* (att. *φρα-*): Lib. or. XVII 2 *τῶν πονηρῶν καὶ ἀκολάστων φατρίαι*, 'conspiratio' Conc. Chalc. can. 18 (*φατριάρχαι* Patriarchae haeretici interdum dicti) 7 *στρῆνος*, 'cupiditas', *ὁ*, Lyc. 438 Anast. Sin. *PG* 89, 753a, 773b: neutr. plerumque *LXX NT* passim; alit. adj., 'acutus', alio accentu, *στρηνός* (= *στρηνής*), Nicostr. fr. inc. 16 (*στρηνόφωνος* Call. com. 30) 9 *ἐκλαλέω* Dem. I 26 Aen. Gaz. ep. 7 p. 6 Massa Positano act. Ap. 23, 22 10 *ἀπροσπαθείᾳ*: cf. *ἀπροσπαθής* Hierocl. in carm. aur. 11 p. 438 Mull. 11 *ἀτρεκῶς* (att. *ἀκριβῶς*): 'revera' ut in ep. gr. 339, 5 K.

1 *ὀμμάτων τοῖς xy* : *-ατόντων* M 5 *γίνωνται* Mxz : *γέ-* P 7 *στρῆνοι* P : *στρί-* MVz *στρίνιοι* N *στρηνοὶ* s fort. recte 9 *ταῦτ' ἐκλαλοῦντες xy* (*ἐκλοῦ-* V) : *ταῦτα λα-* M c. metr.

## X.

### εἰς τὸν κανονάρχην.

*Ἀρχηγὸς ἑστὼς τῆς λύρας τῶν ᾀσμάτων,*
*ψάλτιγξ φάνηθι τῇ μελουργίᾳ ξένῃ.*
*Σάλπιζε καιρῷ τὸ ξύλον, καθὼς δέοι,*
*κίνει δέ σου τὴν γλῶτταν ὡς πλῆκτρον φέρων,*
*ἀεὶ πρεπόντως τὸν στίχον συνεισάγων,*
*ἀσύγχυτον, κάλληχον, ὀργάνου δίκην,*
*τὸ τῆς ἀδελφότητος εὐρυθμῶν στόμα.*
*Τάσσοις ἅπαντα πᾶσιν ἀξιοχρέως,*
*μὴ πρὸς χάριν, μὴ μῆνιν, ἢ λύπης δόσιν,*
*ἀλλ' ἐν δικαίῳ τῷ λόγῳ, καὶ τῷ τρόπῳ.*
*Πάντες γάρ εἰσι τοῦ Θεοῦ καὶ σοῦ μέλη.*
*Οὕτως φρονῶν γοῦν ἐκ Θεοῦ λήψῃ στέφος.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

2 *ψάλτιγξ· κιθάρα* Hesych. Lex. Suda (*ψάλτης* Ath. VIII 348 f *LXX* I Es. 5, 42 cf. *κιθαριστὴς ἢ ψ. SIG* 578, 15 [Teos II[a]]) 3 *ξύλον* seu *σήμαντρον*: Johann. M. *PG* 87, 2860c 2961a Theod. St. *PG* 99, 1713ab 1704d; cf. ep. 20, 7 5 *στίχον* scil. Psalterii seu 9 od.: Theod. St. *PG* 99, 1705d / *συνεισάγω* 'subintroduco' Greg. N. *PG* 38, 92a 6 *ἀσύγχυτος* Phil. I 6, 434 Arr. Epict. IV 11, 8 Basil. *PG* 31, 216b / *κάλληχον* ἅπ. λεγ. 11 cf. ad 7, 5

2 *ψάλτιγξ* ego: *ψάλτηξ* Mx (*σα-* V) *y* *σάλπιγξ* *s*; an *ψάλτης* scrib.? 5 *στίχον* *s*: *-ύ-* NPn *σκοπὸν* M *στοχὸν* APV *τροχὸν* Ma 9 *μὴ*[2] *xy*: *ἢ* M

## XI.

### εἰς τὸν ταξιάρχην.

*Τοῦ ταξιαρχεῖν τὸν λόγον δεδεγμένος,*
*ὡς ταξίαρχος τοῦ λεὼ τοῦ Κυρίου,*
*τάξιν φύλαττε παντὶ καιρῷ καὶ τόπῳ,*
*ἐν εἰσόδοις ὁμοῦ τε καὶ διεξόδοις,*
*ἐν ταῖς ὑπανταῖς ὄψεων τῶν ἐξόχων,*
*ἐν τοῖς ἀθροισμοῖς τοῦ ναοῦ τοῦ Δεσπότου.*
*Χοροστατῶν ἅπαντας εἱρμῷ καὶ λόγῳ,*
*τηρῶν ἑκάστου τὴν τεταγμένην βάσιν,*
*στολὴν ἀπαιτῶν καὶ βάδισμα τὸ πρέπον.*
*Εἰ ταῦτα ποιεῖς ἐμφρόνως καὶ συντόνως*
*θεοπρεπῶς τε πραέως κεκριμένως,*
*ἕξεις χάριν, καὶ μισθὸν ἐκ Θεοῦ μέγαν.*

2 *ταξίαρχος* vulgatior quam *ταξιάρχης* tit. Ar. fr. 182, 1 5 *ὑπανταῖς*: cf. *ὑπάντη*, *εἰς ὑπάντην* lat. 'obviam' gloss. lat; festum quoque appellabatur *ὑπαντή*, purificationis B. Mariae et 'occursus' (Symeonis at Annae viduae) 11 *θεοπρεπῶς* Diod. S. IV 2 Clem Al. *PG* 9, 404b / *κεκριμένως* Plut. II 1142c

2 *ταξίαρχος* Ny: *-άρχης* M, V fere / *τοῦ λεὼ* *y*V: *τῷ λαῷ* MN fere 10 *ποιεῖς* MxMaP: *-ῇς* AV[sl] / *συντόνως* Ny: *δικαίως* M *σωφρόνως* V 11 *κεκριμένως* MxP: *-μμ-* *z* (metr. gr.) fort. recte

## XII.

### εἰς τὸν κελλαρίτην.

*Τίς ὡς σύ, τέκνον, ἐργάτης Θεοῦ πέλει;*
*Ἔχεις γὰρ ἔργον σφόδρα τῶν ἄλλων πλέον,*
*τῶν τῆς ἀδελφότητος ἄρχων βρωμάτων.*
*Ὅλος πρόσελθε πανσθενῶς τῇ φροντίδι,*
*διδοὺς ἑκάστῳ τὸ προσῆκον ἐν κρίσει.*
*Πείρας δέχοιο τῆς πολυζητησίας,*
*ἐκεῖνον οὕτως, ἄλλον ἀλλοίως φέρων,*
*πράως γαληνῶς συμπαθῶς οἰκτιρμόνως.*
*Οὕτως γὰρ ἕξεις σὺν Στεφάνῳ τὸ στέφος.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

tit. *κελλαρίτης* rarior quam *κελλάριος* : papyr. ; apophth. P. *PG* 65, 148d 4 *πανσθενῶς* v. ad 7, 11 6 *πολυζητησία* ἅπ. λεγ. 9 cf. 7, 1

6 *πεῖρας* sm : *πυρὰς* codd.

## XIII.

### εἰς τὸν ἀριστητάριον.

*Ἀριστοποιῶν τοῖς ἀδελφοῖς σου, τέκος,*
*εὖ μοι στίβαζε τῶν τραπεζῶν τὰς θέσεις,*
*σταθμῷ τὸν ἄρτον, εἴ τι δ' ἂν βρωτὸν τύχῃ,*
*ἴσως μερίζων, τοῖς δὲ μείζοσι πλέον·*
*διπλῆς τιμῆς γὰρ ἀξιοῦν τούτους λόγος.*
*Φείδου δ' ὁμοίως καὶ τὸν ὑστεροστάτην·*
*ἅπας γάρ ἐστι σὸν μέλος κἂν οὐκ ἴσως.*
*Καὶ μὴν παρεστὼς ὡς τραπέζῃ Δεσπότου,*
*ἀποστόλοις νόμιζε δουλείαν φέρειν.*
*Στρέφου, θεώρει, νηρὸν ἄλλοπερ νέμων,*
*ἵν' εὖ γένηται καὶ χάρις σοὶ πλουσία.*

tit. *ἀριστητάριος* ἅπ. λεγ. : cf. *τὸ ἀριστητήριον* *BCH* 15, 184 Const. Porph. de cer. 529, 6 2 *στίβαζε* (Du Cange s. v. '-ω' accommodare *ἁρμόζεσθαι*') : cf. *στιβάζω* ap. Herm. Mand. 11 necnon *στοιβάζω* *LXX* Lev. 6, 12 Josu. 2, 6 Reg. 3, 18, 33 Cant. 2, 5, *στιβάδιον στοιβή στιβή* ap. Dimitraku, *M. Λεξ.*, Athenis, 1950, s. vv. 7 *μέλος* cf. ad 7, 5.

tit. *ἀριστητάριον* *xy* : *-στάρ-* M 2 *στίβαζε* ego : *στύ-* codd. 5 *ἀξιοῦν* N*y* : *-οῖ* MV 8 *τραπέζῃ* *xy* : *-ης* M 11 *πλουσία* *xy* : *τελεία* M c. metr.

## XIV.

### εἰς τὸν ὀψοποιόν.

*Τὸν ὀψοποιὸν τίς σε, τέκνον, οὐ στέφει,*
*πολὺν φέροντα τὸν κόπον καθ' ἡμέραν;*
*Δουλευτικόν σοι χρῆμα, μισθὸς δ' οὖν μέγας,*
*χρῆσις ῥυπώδης, ἀλλὰ πλυτρὶς πταισμάτων·*
*φλέγει σε νῦν πῦρ, οὐ τὸ μέλλον δὲ κρίνει.*
*Προσβὰς σταθηρὸς λοιπὸν εἰς τὴν ἑψίαν,*
*ἕωθεν εὐθὺς κλῶν δαλούς, χύτρας κλύε,*
*βρώσεις προσεψῶν, ὡς Θεοῦ, τὰ τῶν τέκνων·*
*εὐχαῖς ἁλίζοις ταῦτα ὥσπερ ἀρτύσεις,*
*ἵν' εὐλογηθῇς ὡς Ἰακὼβ τῷ πάλαι,*
*καὶ χαῖρε τούτοις ἐκτελῶν σου τὸν δρόμον.*

4 *πλυτρίς* ἅπ. λεγ. : id. ac *πλυντρίς* 6 *σταθηρός* (cf. *στ. βάδισμα* Phil. II 267, 26) pro *σταθε-* primum occurrit ap. Phil. I 244 Iambl. comm. math. 34 /

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*λοιπὸν* adv. : Polyb. I 15, 11 cf. ep. 15, 9 / *ἑψία* 'coquendi' seu 'coquinae' vi hic tantum usurp. 7 *κλῶν δαλούς* Hom. / *κλύω* pro *κλύζω* hic tantum occurrit 8 *προσεψῶν* ἅπ. λεγ. : cf. *ἑψάω* Olymp. in Mete. 315, 8 *ἑψέω* Hipp. ac. (Sp.) 63 (v. l.) *προσέψω* Orib. fr. 93 9 *ἁλίζοις* metaph. : cf. *πυρὶ ἁλίζεσθαι* Marc. 9, 49 *ἐν αὐτῷ* (sc. *Χριστῷ*) *ἁ.* Ign. Magn. 10, 2 / *ἀρτύσεις* metaph. : cf. *λόγος ἅλατι ἠρτυμένος* Paul. Col. 4, 6 10 cf. Gen. 25, 29 ss. 11 *δρόμος* de vitae cursu dictum : *δ. τελεῖν* act. Ap. 20, 24 *πληροῦν* 13, 25 ; de martyrum virtute 1 Clem. 6, 2

2 *πολὺν* M*x*P : *-λλ- z* 5 *κρίνει* pro *κρινεῖ* παροξυτονήσεως gr. 6 *προσβὰς ys* : *προβ-* M*x* 7 *κλύε xy* : *κλίει* M *κλύζε* fort. scrib. 10 *τῷ* metr. gr. ut vid. : an *τὸ* scrib. ?

## XV.

### εἰς τοὺς ῥαφεῖς, ἤτοι βεστιαρίους.

*Ὑμεῖς ἔπαρχοι, καὶ διαιτηταὶ μάλα*
*τῶν τῆς ἀδελφότητος ἀμφιασμάτων,*
*ἀγὼν ὑμῖν οὐ μικρὸς ἐν τούτῳ πέλει,*
*φροντὶς δὲ πολλή, καὶ μέριμνα, καὶ κόπος,*
*ῥάπτειν, νεουργεῖν, ἐκκαθαίρειν, καὶ πλύνειν,*
*νέμειν ἑκάστῳ τὸ προσαρμόζον λόγῳ,*
*ἴσως μὲν οὔκ, ἴσως δὲ φίλτρῳ καὶ πόθῳ·*
*ἄλλου γὰρ ἄλλος ἀξιώτερος πόνῳ.*
*Σκοπεῖτε λοιπὸν ταῦτα ποιεῖν σωφρόνως,*
*ὅπως ἀμοιβῶν ἀντιλήψεσθε χρέος,*
*πρὸς τοῦ Θεοῦ διδοῦντος ἀξίας δόσεις.*

tit. *ῥαφεῖς* Poll. 7, 42 / *βεστιαρίους* (lat. 'vestiarius') : cf. *βεστίον* PLond. 5, 1654 (IVp) *βέστον βέιτον* (= *ἱμάτιον*) Et. M. 195, 45 1 *διαιτηταὶ* 'arbitratores' Pl. leg. 956c 2 *ἀμφιασμάτων* Dion. H. I 568, 15 (v. l.) : cf. *ἀμφιάζω* Alciphr. III 6, 3 *LXX* passim ; v. Anec. Ox. Cram. II 338 *τὸ μὲν ἀμφιέζω ἐστὶ ; κοινῶς, τὸ δὲ ἀμφιάζω δωρικόν* 9 *λοιπὸν* cf. ad 14, 6 11 *θεοῦ δόσις* Jos. ant. I 181

3 *ἀγὼν ἐν τ. οὐ μικρὸς ὑ. πέλει* M c. metr. 10 *ἀμοιβῶν* NV*y* : *-ει-* MPn / *ἀντιλήψεσθε xy* : *-αι* M 11 *διδοῦντος* codd. : *-όν- s*

## XVI.

### εἰς τοὺς ἀφυπνιστάς.

*Πρὸς πᾶσιν ἄλλοις οὐδ' ὑμῖν μικρὸς κόπος*
*διεξανιστᾶν τοὺς ὑπνώδεις συγγόνους,*
*συνεισελαύνειν τοὺς γυρευτὰς εἰς μέσον.*
*Τοίνυν ἐπειδὰν σαλπίσῃ τις τὸ ξύλον,*
*ὡς ἄγγελοι παρευθὺ δεδραμηκότες*
*εἰς πάντα κοιτωνίσκον, εἰς κρυπτὸν τόπον,*
*ἐγείρετε πρὸς ὕμνον ἀχράντων λόγων,*
*συνεισφέροντες εἰς νεὼν τοῦ δεσπότου,*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

ἐν ἡμέραις, ἐν νυξίν, ἐν μεσημβρίαις,
ἕκαστον αὐτῶν προσκαλοῦντες εὐθέτως,
ὅπως ὑμῖν τὸν μισθὸν ἄξιον νέμῃ
ὁ πάντα μετρῶν καὶ νέμων κατ' ἀξίαν.

tit. ἀφυπνιστάς ἅπ. λεγ. : cf. ἀφυπνισμός Eust. 1297, 31 2 διεξανιστᾶν 'exsuscitare' ἅπ. λεγ. 3 συνεισελαύνω Plut. II 814d / γυρευτάς 'circulantes' : Johann. Clim. *PG* 88, 1112d Antioch. mon. *PG* 89, 1516b 4 σαλπίσῃ : cf. *LXX* Jo. 6, 13 Ath. IV 130b (ἐσάλπιγξα class.) / ξύλον cf. ad 10, 3 6 κοιτωνίσκον Procop. aed. I 3 Artemid. 357 : cf. κοιτών 'cubiculum' Diod. S. XI 69, 2 *LXX* Jos. VI 382 (damnat Phryn. p. 252 L.) 8 συνεισφέρω 'colligo' : hoc sensu hic tantum usurp.

8 δεσπότου *xy* cf. 13, 8 : κυρίου M 12 μετρῶν *xy* : ποιῶν M

## XVII.

### εἰς τὸν νοσοκόμον.

Τὸ χρῆμα θεῖον ἀσθενῶν βάρη φέρειν.
Τοῦτο λαχών, πύκτευσον, ὦ μοι τεκνίον,
θερμῶς προθύμως, ἐκτελεῖν σου τὸν δρόμον·
ἕωθεν εὐθὺς τοὺς κλινήρεις σου βλέποις,
ἄλλον πρὸ παντὸς φαρμακεύων τοῖς λόγοις·
εἶτ' αὖ πρεπόντως προσφέροις σίτων δόσεις,
ὡς χρὴ δ' ἑκάστῳ, σὺν διακρίσει λόγου·
μέλος γάρ ἐστι, μὴ παρέρχου τὸν πέλας.
Οὕτως ὑπηρετοῦντι μισθός σοι μέγας,
φῶς ἀπρόσιτον, οὐρανῶν εὐκληρία.

tit. νοσοκόμος Poll. 3, 12 Just. nov. 7, 1 2 πύκτευσον cf. 5, 1 3 ἐκτελεῖν... δρόμον v. ad 14, 11 4 κλινήρεις : Phil. II 317 Gal. I 297 7 σοφὸς ἐν διακρίσει λόγων 1 Clem. 48, 5 8 μέλος cf. ad 7, 5 / παρέρχου cf. 18, 7 10 φῶς ἀπρόσιτον Paul. 1 Tit. 6, 16

2 τεκνίον *My* : -νον *x* 4 βλέποις *xy* : -εις M 6 εἶτ' *x* : εἶ- *y*, M inc. / προσφέροις *xy* : -εις M / σίτων *s* : σιτῶν M*xy* 7 λόγου NV[sl] *y* : -ων M fort. recte -ον V[1]

## XVIII.

### εἰς τοὺς νοσοῦντας.

Τὸ τῆς νόσου μοι δῶρον εὖ, τέκνον, δέχου·
ἐπισκοπὴ γάρ ἐστι θείας φροντίδος.
Φέροις ἀνεκτῶς τῆς καμίνου τὴν φλόγα,
ἐν τῷ δροσισμῷ τῆς ἀπευχαριστίας.
Ἰὼβ γένοιο, τοὺς ἐκείνου φῶν λόγους,
ἐφ' οἷς ἁμαρτεῖν οὐκ ἀνῆκε κἂν λόγῳ.

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*Κἂν δ' αὖ παρέλθῃ τίς σε, μὴ βλέψας, σίγα,*
*ἐν πᾶσιν αἰνῶν τῇ κατὰ χρείαν δόσει,*
*ἵν' εὖ παθήσῃς σώματι πρὸς καρδίαν.*

2 *ἐπισκοπή* 'visitatio' : *LXX* Gen. 50, 24 s. Ex. 3, 16; 1 Clem. 50, 3 al. cf. W. Bauer, *Wörterb.*[5] s. v. 3 *ἀνεκτῶς* sine neg. Philod. *π. θεῶν* 3, fr. 2 : cf. 2 Clem. 10, 5 / *καμίνου* : de inferis ap. Matth. 13, 42, 50 de via gloss. lat. 4 *δροσισμός* 'humiditati expositio' Olymp. Alch. p. 87 B, Ps. - Ath. *PG* 28, 748c : cf. *δροσίζω δρόσος* metaph. ap. Ignat. Magn. 14 *LXX* sent. 32, 2 prov. 19, 12 5 de Job patientia Jacob. ep. 5, 11; 1 Clem. 17, 3, II, 6, 8 7 *παρέλθῃ* cf. 17, 8

7 *τίς xy* : *τί* M

## XIX.

### *εἰς τοὺς σκυτεῖς.*

*Πεδιλοποιῶν ὡς ἄριστος ἡ τέχνη.*
*Ἀποστόλου γάρ ἐστι Παύλου, τοῦ πάνυ.*
*Ζηλοῦντες αὐτοῦ τοὺς ἱδρῶτας τῶν κόπων,*
*δέξασθε θερμῶς τοὺς πόνους καθ' ἡμέραν,*
*ὡς ἐργάται Χριστοῖο, τῆσδε φροντίδος.*
*δέρρεις τε βύρσας. ὡς δέον, τετμηκότες,*
*παλαιὰ καινουργοῦντες, εἶτα καὶ νέα.*
*μὴ νωθρότητι, πρὸς παράχρησιν λόγου,*
*ῥιπτοῦντες, εἴ τι τῶν ῥιφῆς οὐκ ἀξίων,*
*ἢ τὴν τομὴν φέροντες ἐλλιπῶς ὕπερ.*
*Ἅπαντα γὰρ ποιοῦντες ἀξιοχρέως,*
*τῶν μαρτυρούντων ἐξανύσετε δρόμον.*

1 *πεδιλοποιός* id. ac *σκυτεύς* (Ar. av. 491): ἁπ. λεγ. 6 *δέρρις* (cf. *δέρα δέρος δέρας*) *LXX* Zech. 13, 4 *AP* XII 33 7 *καινουργέω* Alciphr. III 3 8 *νωθρότης* (i. e. *νωθεία*): Hipp. prorrh. I 13, 70 *LXX* Macch. 4, 5 / *παράχρησις* 'abusio' anon. ap. Lex. Sud. s. v. *Ὠριγένης* 9 *ῥιφή* (sc. *ῥῖμμα ῥῖψις*): Lycophr. Al. 235, 1326 10 *ἐλλιπῶς* : cf. Philostr. *VS* I 11 12 *δρόμον* cf. ad 14, 11

tit. *σκυτεῖς* BP : *σκοιτεῖς* AV *κοιτεῖς* MNMa 8 *λόγου xy* : *-ον* M

## XX.

### *εἰς τὸ κοιμητήριον.*

*Ὁ δοὺς τὸν ὕπνον πᾶσιν, εἰς λύτρον κόπων,*
*ὧνπερ παρέσχεν ἡ διαυγὴς ἡμέρα,*
*κἀμοὶ παράσχου, Χριστέ μου, Θεοῦ Λόγε,*
*κοῦφον τὸν ὕπνον, ἡδὺ καὶ ταχυδρόμον,*
*φαντασμάτων μὲν τῶν κακῶν ἐξωσμένον,*
*ὀνειράτων δὲ τῶν καλῶν πεπλησμένον.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

καὶ μ' ἐξέγειρον, κρουσματοῦντος τοῦ ξύλου,
ἀνέκλητον, σταθηρὸν εὐθύμως ᾄδειν,
ἱστῶν πόδας μου καρτερῶς ἐν αἰνέσει,
φρουρῶν νόας μου δαιμόνων πανουργίας,
γλῶσσαν τρανῶν μου πρὸς τὸ μέλπειν εὐτόνως,
εἰς δόξαν αἴνων τοῦ μεγίστου σου κράτους·
ὅπως τέλειος νυκτερεύσας, ὀρθρίσας,
τὸ φῶς ἴδω τῶν ἐντολῶν πρωΐθεν.

tit. κοιμητήριον *IG* VII 235, 43 (Oropus IV$^a$) Ath. IV 143c 4 ταχυδρόμος Nonn. Dion. XXIX 365 *Orph. hymn.* 27, 3 Athan. *PG* 26, 889c 7 κ. ξύλου: cf. ad 10, 3, 17, 6 / κρουσματοῦντος ἅπ. λεγ.: cf. κροῦσμα κρούω κρουσματισμός 8 ἀνέκλητος (i. e. ἀνέγκλητος Paul 1 Cor. 1, 8): *GDI* 1723, 1729 (adv.) / σταθηρὸν: cf. ad 14, 6 10 νόας acc. ap. Jambl. myst. I 15 11 τρανόω 'perspicuum reddo': Phil. I 30 13 ὀρθρίσας (sc. -εύσας): cf. *LXX* gen. 19, 27 *NT* Luc. 21, 38 14 πρωΐθεν: cf. *LXX* ex. 18, 13 (ἀπὸ) Reg. 18, 26 (ἐκ) v. Herod. gr. I 144

1 κόπων codd.: πόνων s 4 ἡδὺ codd.: pro adv. est habend. an -ὺν scrib.? 8 ἀνέκλητον dubit. scripsi: -υτον codd. ἀνέκκλητον Tomadakis 13 τέλειος *xy*: -ίως M fort. recte

## XXI.

### εἰς πλουσίους καὶ πένητας.

Ἴσθι τίς ὤν, καὶ τί σοι μένει,
ὅπῃ παροικεῖς, καὶ μεταστaίειν ἔχεις,
ὅλος γίνοιο πρός τ' ἄνω τῇ φροντίδι.
Πλῆρές γ' ἐκεῖ φῶς, ἀλλὰ καὶ κρίσις ἄληξ.
Τῷ τῇδ' ὅ τ' εἴποις, αὖρα, ῥοῦς, καὶ νυκτόναρ,
χρυσὸς χοοῦται, δόξ' ἀπανθεῖ, τἄλλα ῥεῖ,
πολύστονα, θρηνηρὰ πάντα τἀνθάδε·
ἔχε προσεκτῶς μή σε κυλίσῃ χρόνος,
ὃ μὴ πάλιν ἀγρετὸν ἢ παικτὸν πέλει.

2 μετασταίειν: ἅπ. λεγ. 4 ἄληξ (ἀ-λήγω): ἅπ. λεγ. 5 νυκτόναρ: ἅπ. λεγ. 6 χοοῦται: ἅπ. λεγ. 8 κυλίω (cf. κυλίνδω; Kühn. - Blass II 453): Paul. 1 Cor. 14, 33 Jos. ant. VI 121 9 παικτός J. Chrys. I 237c

2 ὅπη codd. / ἔχεις M*x*: -οις *x* 4 ἄληξ *xy*: -λλ- M 5 αὖρα: ἄρα MV 8 προσεκτῶς NV*y*: προσευκτῶς Pn προσευχῶς M 9 ὃ ego: οὗ codd. / ἀγρετὸν scripsi: ἄγραιτον codd.

## XXII.

### εἰς κοσμικούς.

Χριστοῦ μαθηταί, τοῦ καλοῦ καὶ πραέος,
μῆνιν φέροντες εἰς ἑαυτοὺς καὶ μάχας,
πῶς εἰς τὸν αὐτοῦ βαίνετε φρικτὸν δόμον;

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*Δώρων πανάγνων πῶς μεθέξετε ξένως;*
*Καὶ μὴν Ἰούδας ὁ προσελθὼν ἐν δόλῳ,*
*φιλῶν μὲν ἔξω, μηνιῶν δὲ τοῖς ἔσω,*
*ὤφθη μαθητὴς πεπρακὼς τὸν Δεσπότην.*
*Μηδεὶς παρείτω λοιπὸν ἐχθρωδῶς ἔχων,*
*ξίφος κατ' αὐτοῦ πηγνύων τῇ καρδίᾳ,*
*αἰώνιον πῦρ ἀντίδωρον λαμβάνων.*
*Γνόντες τὰ τῇδε, προσφιλῶς σχῶμεν πάνυ.*

tit. *κοσμικούς*: 'saeculares' opp. 'regulares' Just. nov. 123, 1, 2 aliter Paul. Tit. 2, 12 2 Clem. 17, 3 3 *φρικτόν*: cf. Callim. fr. 75, 6 Pf. *θεῆς ἴδες ἱερὰ φρικιῆς* Philod. *π. θεῶν* I 17 4 *πανάγνων* (cf. *παναγής πανάγιος*): sch. Aesch. I 10 Amphil. *PG* 39, 37a Sophron. *PG* 87, 3364c 5-7 Matth. 10, 4, 26, 14, 25, 47, 27, 3, al. 6 *μηνιάω* (sc. *-νίω* cf. *μηνιάζω* Et. Gud. s. v. *ἐνεκότουν*) *LXX* Ecclesiastic. 10, 6 Dion. H. Rh. 9, 16 Ael. *NA* 6, 17 8 *ἐχθρωδῶς ἔχειν τινί* Dio C. XLIII 10 9 *δόρυ ἐν κραδίῃ ἐπεπήγει* Il. XIII 442 (*ξίφος*) *πέπηγεν ἐν γῇ* Soph. Ai. 819 10 *αἰώνιον πῦρ* Matth. 18, 8, 25, 41 Iud. ep. 7 11 *προσφαλῶς ἡμῖν ἔχειν* Xen. Hell. II 3, 44

2 *καὶ μάχας* M : *ταῖς μάχαις* *xy* 4 *δώρων πανάγνων* *xy* : *-ον -ον* M 6 *μὲν... δὲ* *xy* : *τοῖς...* M 11 *γνόντες* M*x* : *γνῶ-* *y*

## XXIII.

### εἰς ὁδίτην.

*Ἐλθὼν καθέζου πᾶς τις ὕβρεως δίχα·*
*Θεοῦ γάρ ἐστιν οἶκος ἔνθαπερ, φίλε.*
*Κρούσας δέ, λέξον αἰτίαν, καθ' ἣν πάρει,*
*πρὸς μικρὸν αὖτε μακροθυμῶν τὴν φάσιν.*
*Εἴσω δὲ βαίνων σὺν φόβῳ τε καὶ πόθῳ,*
*τῷ Δεσπότῃ σου τὰς προσευχάς σου δίδου.*
*Μηδὲν δὲ φάσκε τῶν ματαίων τοῦ βίου,*
*συντυγχάνων γε τοῖς φυγοῦσι τὸν βίον·*
*ἀλλ' εἴ τι σεμνόν, εἴ τι τερπνὸν ἐν λόγοις,*
*ἀποκρίθητι, φράζε πρὸς πᾶν ὃ πρέπει,*
*ἵν' εὐαγῶς ἐνθένδε, καὶ σωτηρίως,*
*πάλιν στροφήσῃς εἰς τὰ οἰκεῖα τρέχων.*

7 *μάταια λαλεῖν* Ign. Philadelph. 1, 1 cf. *ματαιότης ματαιοτήτων* *LXX* Eccles. I 2

6 *σου δίδου* M*y* : *ἐκδ-* *x* 8 *γε* N*y* : *δὲ* MV 10 om. *s* 11 *ἐνθένδε* *xy* : *ἐντεῦθεν* M

## XXIV.

### εἰς τοὺς παριόντας.

*Πῶς σου πορεύῃ τὴν ὁδόν, φίλε, σκόπει·*
*τὴν πρακτικὴν δὲ λεκτέον καὶ γνωστέον.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

Κρημνοί, λόχοι, θήρατρα πολλὰ τοῦ πλάνου,
τὰ δὲ φθόνοι, γέλωτες, ὕβρεως κόροι,
πορνεία, δόξα, χρημάτων ἔρως, φόνοι
μέθη, κλοπή, μοιχεία, καὶ πᾶν ἄλλο τι,
μὴ προσπαρῇς που, μὴ πέσῃς πτῶμα ξένον.
Κἂν συμβέβηκεν, ἐξανάστα τῷ τάχει·
ἐπεὶ πυρὸς δίκη σε παμφάγου μένει.

2 δὲ *xy* : τε M 3 κρημνοί *xy* : κρωνοί M 5 πορνεία *xy* : -ας M fort. recte 7 προσπαρῇς *xy* : -ῇ M / ξένον MN$^{sl}$ *ys*$^{m}$ (-ων N$^{1}$) : μέγα Vs

## XXV.

### ἐπίγραμμα εἰς τὴν μονήν.

Προαύλιον πέφηνα ποίμνης αἰσίας —
τοῦ προταγοῦς γάρ εἰμι φωτοπροδρόμου —
λείας λογικῶν θρεμμάτων πεπλησμένης,
ὧν βίος ἄζυξ, ὧν πόλις ὕψους πόλος,
ὧν πᾶς ἕκαστος καὶ καθ' εἷς ἅπας πόθῳ,
ὧν οὔτινός τι τοῦ δὲ πάντων κτημάτων.
Κλῆρος γὰρ αὐτοῖς ἡ Θεοῦ σχέσις μόνη,
ὡς ἀσφαλής, ὡς ἐσθλὸς ἤνυσται δρόμος,
τῶν κοινοβικῶς πανταχῶς ἐξηκότων.

tit. μονή 'monasterium' Just. nov. 133, 1 1 προαύλιον i. e. αὐλή : Poll. I 77 Lex. Sud. s. v. 2 πρόταγος 'dux' Theoph. Sim. p. 256, 3 Bekk. / φωτοπροδρόμου : ἅπ. λεγ. 7 σχέσις 'affectio' : cf. σχετικῶς Greg. Pont. II ep. I ad Leon. Isau. σχετικὴ σ. (de affectiva imaginum adoratione) Du Cange Gloss. s. v. ; cf. epp. 7, 6, 106, 8 8 δρόμος cf. ad 14, 11 9 κοινοβικῶς (metr. gr.) pro -ιακῶς : ἅπ. λεγ.

2 προταγοῦς N*y* : φεροταγοῦς Vs 3 λείας N*y* : λίας Vs (λία pro λεῖα ap. Basil. Sel. de mirac. Sct. Theclae XVII 4 πόλις V*y* : πόλος N 5 πόθῳ V*y* : πόλος N 6 δὲ *xy* : γε M

## XXVI.

### εἰς τὸν πυλωρόν.

Ἔσω παρεστὼς ἔνθαπερ, τέκνον, φόβῳ·
πύλη γάρ ἐστι θείας εἰσοδεξόδου.
Δίδου, δέχοιο τὰς φάσεις ἐν συγκρίσει,
ἄγγελλε ταῦτα τῶν ὅσα πρέπον φάναι,
σίγα δ' ἐκεῖνα τῶν ὅσα βλάβην φέρει,
τοῖς ἔνδον, ἔξω, κἂν ἀδελφοῖς, κἂν ξένοις,

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*κλείων, ἀνοίγων πρὸς δὲ καιρόν, οἷς πρέπει.*
*Πτωχῷ τε χρείαν νεῖμον· εἰ δὲ μή, λόγον.*
*Οὕτως γὰρ ἕξεις μισθὸν ἐν παραστάσει.*

2 *εἰσοδέξοδος* : Const. Porph. cer. 96, 1   9 *παραστάσει* : metaph. dictum e publico Imperatoris consessu ( sc. *σιλέντιον* ) ap. Curopal. 12, 20, 33, 4 ( Bonn. )

## XXVII.

**εἰς ἀπερχόμενον ἀδελφὸν εἰς διακονίαν.**

*Πρὶν ἐκπορεύσῃ τὴν πύλην ταύτην, τέκος,*
*σφραγῖδα προσθεὶς εἰς ἅπαν μέλους τόπον,*
*ἴθι πρὸς ἅσπερ ἐξεπέμφθης φροντίδας,*
*κάτω νενευκὼς ἐξωθούμενος βλάβας,*
*ψαλμόν, προσευχήν, ταῖν δυοῖν ἓν προσλέγων,*
*τὰς ἀστικώδεις ἐξωθούμενος βλάβας.*
*Φεύγοις γυναιξὶ συστραφῆναι, κἂν τύχῃ,*
*στραφεὶς τάχει δὲ τῆς μονῆς εἴσω μένε,*
*μὴ ὥσπερ ἰχθὺς ἁλὸς ἔξωθεν θάνῃς.*

tit. *διακονία* 'ministerium publicum' act. Ap. 6, 1

7 *συστραφῆναι* Vs : *-ντρα-* Ny   8 *τάχει δὲ* ego ( cf. 32, 9 ) : inv. ord. codd. 9 *ἁλὸς* s$^{m}$ : *ἄλλος* codd. ( m. gr. ? )

## XXVIII.

**εἰς ὑποστρέφοντα ἀδελφὸν ἀπὸ διακονίας.**

*Πάλιν στροφήσας, τέκνον, ἐκ τῆς φροντίδος,*
*σύστρεψον εὐθὺς σαρκὶ καὶ νοῦν σου πλάνον,*
*εἰκαῖον οὐδὲν ἔνδον ἔξωθεν φέρων,*
*ἀλλ' εἴ τι σεμνόν, καὶ τὸ τοῖς πρωτοστάταις.*
*Λόγον γὰρ οὐ φῂς τῆς ματαιοκοσμίας*
*« Εἶδον, βέβρωκα· καὶ τό, καὶ τό, τυγχάνει »,*
*καὶ γοῦν ὅτις καὶ τίσδε φωνεῖ σοι τάδε.*
*'Ανατροπὴν γὰρ τοῖσδε κιρνῶν τῷ πέλας,*
*ἀρᾶς προφήτου χρηματίζεις ἄξιος.*

tit. *διακονίας* cf. ad 27 tit.   2 *πλάνον* : cf. *π. φέγγη* ( de planetis ) Maneth. IV 3, *φροντίδος πλάνοι* Soph. *OR* 67   6 *ματαιοκοσμία* ( cf. *ματαιοκοπία -εργία -κηρυξία -λογία -πονία -πραγία* ) : *ἅπ. λεγ.*   10 *ἀρᾶς προφήτου* : cf. ex gr. *LXX* pr. 108 ( Dav. ) / *... χρηματίζεις ...* : cf. *τιμῆς καὶ πίστεως χ. ἄξιοι* ( 'digni habentur' ) Appian. *BC* II 111

9 *τῷ* *y* : *τὸ* *x*   10 *ἄξιος* *s* : *-ίως* *xy* ( an *ἀρὰς... ἀξίως* [ « sibi comparat... » ] scrib. ? )

1 - 7 - 1958

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

## XXIX.

### εἰς τὸ ξενοδοχεῖον.

*Προβᾶτε, δεῦτε, τῇ ξενιζούσῃ στέγῃ,*
*ἄνδρες πορευταί, τοῖς πόνοις κεκμηκότες,*
*μετεκλάβοιτε τῶν ἐμῶν ξενισμάτων,*
*ἄρτου ποθητοῦ, τοῦ τρέφοντος καρδίαν,*
*ποτοῦ γλυκείου, τοῦ ῥέοντος ἀφθόνως,*
*σκεπασμάτων τε τῶν ψύχους ἀλλοτρίων.*
*Ἅ μοι παρέσχε τῷ θεογνώστῳ, φίλοι,*
*ἐκ τῶν πανόλβων δωρεῶν αὐτοῦ χάριν,*
*ὁ Δεσπότης μου Χριστός, ὁ πλουτοβρύτης.*
*Ἐπευλογοῦντες αὐτόν, ὡς κοσμοτρόφον,*
*κἀμοὶ προσευχὴν ἀντιποιοῦντες μόνον,*
*ὅπως ἐκεῖθεν τῷ φιλοξένῳ τρόπῳ,*
*τοὺς Ἀβραὰμ τύχοιμι κόλπους εἰσδύναι.*

tit. *ξενοδοχεῖον* Justin, nov. 120, 1 7 *θεογνώστῳ* gloss. Heph. astrol. I 1 Engelbr. 9 *πλουτοβρύτης* ἁπ. λεγ. : cf. ad 1, 1 10 *ἐπευλογέω* Tzetz. *hist.* IX 206 / *κοσμοτρόφος* de Aegypto Maneth. I 2 de Roma *IG* XIV 1108c 19 13 cf. Johann. 13, 23 *ἐν τοῖς κόλποις αὐτοῦ* (cf. τ. *Ἀβραάμ*) Sammelb. gr. Urk. Aegypt. 2034, 11 (Preisigke) *ἐν κόλποις Ἀβραὰμ καὶ Ἰσὰκ καὶ Ἰακὼβ* Luc. 16, 23 *ἀπενεχθῆναι εἰς τὸν κόλπον Ἀβραὰμ* cf. Theocr. II 120 Bl. - Debrunn. Gramm.[8] § 141, 5 / ...*εἰσδύναι* : cf. Orph. fr. 32c 8 *δεσποίνας ὑπὸ κόλπον ἔδυν* Antig. Carist. 172

3 *μετεκλάβοιτε* Ny : *μεταβλά-* V *μετεπλάγ-* Pn 5 *ῥέοντος* Pny : *-ως* N *τρέφοντος* V 8 *πανόλβων* Pny : *-κων* NVs 13 *νύχοιμι* Vy : *τύχοι μοι* N fort. recte

## XXX.

### εἰς ἁγίας εἰκόνας.

*Ἥνπερ βλέπεις εἰκόνα Χριστοῦ τυγχάνει,*
*Χριστὸν δὲ καὐτὴν λέξον, ἀλλ' ὁμωνύμως·*
*κλήσει γάρ ἐστι ταὐτότης, ἀλλ' οὐ φύσει.*
*Ἀμφοῖν δὲ προσκύνησις ἀσχίστως μία·*
*ὁ τοίνυν ταύτην προσκυνῶν Χριστὸν σέβει·*
*μὴ προσκυνῶν γὰρ ἐχθρὸς αὐτοῦ καὶ πάνυ,*
*ὡς τὴν ἀναγραφεῖσαν ἔνσαρκον θέαν*
*τούτου, μεμηνώς, μὴ σεβασθῆναι θέλων.*

2 *ὁμωνύμως* 'ambigue' : Arist *EN* 1129a 30 de An. 412b 14 3 *ταὐτότης* : Arist. *EN* 1161b 31 Gal. VI 643 7 *ἔνσαρκος, -ον* Porph. abst. I 1 8 *σεβασθῆναι* : Paul. Rom. 1, 25

5 *ὁ τοίνυν ταύτην* xy : *ταύτ. ὁ τοί.* s



Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

## XXXI.

### ἄλλο.

*Εἰ σῶμα Χριστοῦ λαμβάνωμεν ἐσθίειν,*
*τούτου πίνοντες αἷμα τὸ ζωηφόρον,*
*πῶς οὐκ ἂν αὐτὸν δείξωμεν γεγραμμένον*
*οὗ καὶ τὸ σῶμα σχηματόγραπτον πέλει ;*
*Ὡς μὲν γὰρ ἁπλοῦς, οὐ περιγραφὴν ἔχει·*
*Θεὸς γάρ ἐστι, παντὸς ἔξωθεν τόπου.*
*Ὡς ἐνδυθεὶς δὲ τὴν καθ' ἡμᾶς οὐσίαν,*
*ἄνθρωπός ἐστι, συνθέσει γεγραμμένος,*
*ἔχων ἀφύρτως θάτερον κατ' οὐσίαν,*
*ὑποστάσει μιᾷ τε συντεθειμένος.*
*Ὁ τὸν Λόγον τοιῶσδε δοξάζων μάλα*
*πιστὸν πέφηνε θρέμμα τῆς ἐκκλησίας.*
*Ἄλλως φρονῶν γὰρ τοῦ Θεοῦ πόρρω θέει.*

2 *ζωηφόρον* : Themist. or. 19, 228d 4 *σχηματόγραπτον* ( cf. *σχηματογραφέω* Nicom. 118, *-ία* ) : ἅπ. λεγ. 6 *παντὸς ἔξωθεν τόπου* : cf. 33, 4 7 cf. Arist. de An. I 3, 407b 23 *ψυχὴν... ἐνδύεσθαι σῶμα* 9 *ἀφύρτως* Nic. Dam. p. 144 D. 10 *ὑπόστασις* Paul. Hebr. I 3, al. 11 *Λόγον... δοξάζων* : cf. mart. Polyc. 20, 1 *τὸν κύριον δ.* Herm. vis. 3, 4, 2 / *τοιῶσδε* Adam. phys. vent. 37, 39 Först.

tit. *ἄλλο* N : *-α* P om. VPnMa 1 *λαμβάνωμεν* $s^m$ : *-ομ-* $NV^my$ *-οντες* $V^t$ 13 om. *x*

## XXXII.

### ἄλλο.

*Ἐκ μορφοποιοῦ χειρὸς ὡραϊσμένην,*
*βλέποντες ἄνδρες ἐγγραφεῖσαν ἐνθάδε,*
*δρέψασθε καρπὸν ὠφελείας ἀξίως,*
*τὸν νοῦν ἄραντες εἰς τὰς αὐτῶν αἰτίας.*
*Ἴσον λόγου γὰρ ἡ γραφὴ βοᾷ μέγα,*
*ὡς «Ἡ τιμή μου, δόξα τῆς αὐτοψίας,*
*δι' ἣν παρήχθην εἰς ὑπόμνησιν μόνον,*
*φρουροῦσα, φωτίζουσα τοὺς ἐμοὺς φίλους,*
*τοὺς προσκυνεῖν δὲ μὴ θέλοντάς με σχέσει,*
*ἀλλοτριοῦσα τῆς ἄνω κληρουχίας».*

1 *μορφοποιοῦ* (cf. *μορφοποιέω* Herm. ap. Stob. I 11) : Ps.-Dion. *PG* III 328a / *ὡραϊσμένην* : *LXX* Ecclesiastic. 25, 1 6 *αὐτοψία* de dei visione Jamblic. myst. 76, 14 M. Psell. *PG* 122, 1136d 9 *σχέσει* : cf. ad 25, 7 10 *κληρουχία* 'hereditas' : *LXX* Nehem. 11, 20

tit. *ἄλλο* *s* : *-α* P om.*x*Ma 5 s. *μέγα ὡς·* fort. scrib.

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

## XXXIII.

### *ἄλλο.*

*Ἄσαρκος ὢν πρὶν Χριστός, οὐκ ἦν ἐν θέᾳ.*
*Θεὸν γὰρ οὐδείς, φησίν, ἀνθρώπων ἴδεν.*
*Ἐπεὶ δὲ σαρκὸς ἐνδιδύσκεται πάχος,*
*ὁ παντὸς ἔξω καὶ χρόνου τε καὶ τόπου,*
*ἁπτός, παθητὸς γίνεται τῇ συνθέσει.*
*Βρέφος κυηθεὶς ἐκ κόρης, σπορᾶς ἄνευ,*
*αὔξει, διψεῖ, πεινεῖ τε καὶ σύμπαν φέρει,*
*τῶν ἐν θέσει τε καὶ γραφῇ δεδειγμένων.*
*Πῶς οὖν σὺ λοιπόν, ὦ παράφρον, ὦ τάλα,*
*οὐ σαρκὶ σεπτῶς Χριστὸν ἐμπεριγράφεις,*
*κατ᾽ εἶδος αὐτοῦ τὴν ὅλην παρουσίαν;*
*Ἀλλ᾽ ἢ μεταγνοὺς πιστὸς ἐκ πλάνης γίνου,*
*ἢ τῆς Θεοῦ πόρρωθεν αὐλῆς ἐκφέρου.*

3 *σαρκὸς πάχος* Eur. Cycl. 380 *πάχος* opp. *λεπτότης* Plat. *R* 523c, al. / *ἐνδιδύσκομαι* 'induendi' vi ap. geop. 16, 21, 9 B. *LXX* 2 Reg. 1, 24 4 cf. 31, 6 5 *παθητός* (cf. 18, 9, Bl. - Debrunn. 65, 3): opp. *ἀπαθής* corp. Herm. 6, 2ab 10, 17 (Scott) 7 *διψεῖ* ion.: Arch. fr. 69 D.³ / *πεινέω* (ion.) Hesych. s. v. 12 *πλάνης* (cf. 36, 4): in malem partem ut est ap. *LXX* prov. 14, 8 *NT* Matth. 27, 64

tit. *ἄλλο* N: -α P om.VMa 1 *ἐν θέᾳ xy*: *ἐνθάδε s* 2 *οὐδείς φησιν x*Ma: inv. ord. P 7 *αὔξει* Vy: -η N / *διψεῖ* Vy: -ιψ- N (*δίψος* Paul. 2 Cor. 11, 27) / *πεινεῖ y*: *πίνει x*; an *διψῇ... πεινῇ* seribendum inc. 13 *ἐκφέρου* Vy: -ων N

## XXXIV.

### *ἄλλο.*

*Ὁ Χριστός ἐστι τῇ γραφῇ δεδειγμένος,*
*ἐπεὶ βροτὸς πέφηνεν, ὢν Θεὸς φύσει.*
*Ὁ μὴ γὰρ οὕτως προσβλέπειν αὐτὸν θέλων*
*φαντασματωδῶς σωματοῦσθαι προσλέγει.*

4 *φαντασματωδῶς* ἀπ. λεγ. / *σωματοῦσθαι*: *ψυχὴ... σωματοθεῖσα* Plot. I 6, 5

tit. *ἄλλο* N: -α P om.VPnMa

## XXXV.

### *εἰς τὴν ἁγίαν Θεοτόκον.*

*Ἐν εἰκόνι βλέπων σε, μῆτερ Κυρίου,*
*φόβῳ πρόσειμι προσκυνεῖν σε, καὶ πόθῳ·*
*χάρις γὰρ ὄντως τηλικαύτη σοι πέλει,*
*ὡς τῇ σκιᾷ σου θαυματουργίας βρύειν.*

4 *βρύειν*: cf. ad 1, 1

tit. *τὴν* om.Ma 1 *κυρίου* Vy: -α N

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

## XXXVI.

**ἄλλο.**

*Ἐπ' ὠλένης μου μητρόμοιόν μοι βρέφος,*
*τὸν Παντάνακτα Χριστὸν ἐγγράφως φέρω,*
*τὸ φῶς ἀπαστράπτοντα τῆς ἀφθαρσίας,*
*καὶ κόσμον ἐξαίροντα δαιμόνων πλάνης.*

1 *μητρόμοιος* Joh. Dam. *PG* 96, 692b 2 *Παντάνακτα* : cf. ad 48, 2 3 *ἀπαστράπτοντα* : abs. Arat. 430 Opp. cyn. I 220 Procl. hymn. 7, 31 *φάος ἀ.* / *ἀφθαρσία* Epic. Men. 123, 4 p. 7 Dia. *LXX* sap. Sal. 2, 23 Paul. Rom. 2, 7 4 *πλάνης* cf. ad 33, 12

tit. *ἄλλο* N : *-α* P om.VMa 4 *ἐξαίροντα* V*y* : *-αι* N / *πλάνης* *x*P : *-ην* Ma

## XXXVII.

**ἄλλο.**

*Σὺ τὸν Θεὸν τεκοῦσα, προὔχεις ἀγγέλων.*
*Ὃν οὐ δύνανται καὶ γὰρ αὐτοὶ προσβλέπειν,*
*ὡς Υἱὸν αὐτὴ χερσὶν ἀχράντοις φέρεις.*

tit. *ἄλλο* N : *-α* P om.VMa 2 *αὐτοὶ* V*y* : *-οῖς* N

## XXXVIII.

**ἄλλο.**

*Μητροπρεπῶς τὸν Υἱὸν ἔγγραπτον φέρω,*
*ὡς ἂν φανείη γνήσιον μητρὸς τέκος,*
*ὁ πατρομοίως τῆς γραφῆς ἐπηρμένος,*
*ἐπεί πέρ ἐστι διττὸς ἀπρὶξ τὴν φύσιν.*

1 *μητροπρεπῶς* Joh. Dam. *PG* 96, 689a 3 *πατρομοίως* : ἅπ. λεγ.

tit. *ἄλλο* N : *-α* om.VMa

## XXXIX.

**εἰς τὴν εἰκόνα τοῦ Χριστοῦ.**

*Ἐξεικόνισμαι κἂν Θεὸς πέλω φύσει,*
*ἐπεί πέρ εἰμι καὶ βροτὸς κατ' οὐσίαν·*
*Καὶ τῇ σκιᾷ μου προσκυνοῦμαι παντί που,*
*Μήπω μερισμὸν τοῦ κλέους προσλαμβάνων.*

1 *ἐξεικονίζω* eodem sensu ap. *LXX* ex. 21, 22 s.

tit. *τὴν* om.Ma 1 *κἂν* *x*P : *καὶ* Ma / ante *φύσει* ins. *τῇ* N 4 *μήπω* N MaPpc : *-ως* Pacprob *-ου* V

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

## XL.

**εἰς τὸν ναὸν τῆς Θεοτόκου.**

*Τῆς Παρθένου τὸν οἶκον ὁ βλέπων, νόει·*
*ναὸς γὰρ αὔτη τοῦ Θεοῦ δεδειγμένος,*
*ναοὺς ἑαυτῆς πανταχοῦ γαίης ἔχει.*

tit. *τὸν* om. Ma 3 *ἑαυτῆς* Ny: *-ῇ* V

## XLI.

**εἰς ἐνδύτην.**

*Τὸν κοσμοποιὸν σωματούμενον βλέπων,*
*σὺν τῇ τεκούσῃ, τῇ γραφῇ τῶν εἰκόνων,*
*καταπλάγηθι, πῶς Θεὸς βρέφος πέλει,*
*ἅπαντά τε δρᾷ πρὸς βροτῶν σωτηρίαν,*
*ἵν' εἰς ἑαυτὸν τὴν φθορὰν κατακρίνας,*
*τὸ πλάσμα σώσῃ θεότητος τῷ κράτει.*
*Τὸ δὴ φρονοῦσα τῇ Θεητόκῳ φέρει,*
*Πρὸς λύτρον αὐτῆς τ' ἀνδρός, ἄχραντιον δόμα.*

tit. *ἐνδύτης* (cf. *ἐπενδύτης*): Aquila in 1 Reg. 17, 38 Field 1 *σωματούμενον*: cf. ad 34, 4 7 *Θεητόκῳ* pro *Θεο-*: cf. *θεημάχος* Procl. hymn. 7, 8 *θεηπολέω* Lex. Sud. Phot. *θεηγενής* *Orph. Arg.* 1374 Quint. Sm. VI 9 *θεηγόρος* Olymp. alch. p. 83 B. (*-γορέω* 84 B.) *θεηδόχος* Nonn. Dion. XIII 96 *θεηκόλος* Paus. V 15, 10 et sim. 8 *λύτρα τῆς ψυχῆς* *LXX* ex. 30, 12 cf. *NT* Matth. 20, 28 Marc. 10, 45

tit. *εἰς ἐνδύτην* *y* fere: *ἄλλο* N om. V 7 *θεητόκῳ* *xy* (Ma inc.): *θεο-* *s* 35, 40 tit. collato

## XLII.

**εἰς τὸ κιβούριον τοῦ Προδρόμου.**

*Θείας τραπέζης συγκαλύπτραν με βλέπων,*
*χερουβικὴν νόμιζε ταξιαρχίαν·*
*Χριστὸν γὰρ ἔνδον μυσταγωγεῖσθαι νόει,*
*τὸν τῶν ἄνω τε Δεσπότην καὶ τῶν κάτω.*

tit. *κιβούριον* (pro vulg. *κιβώριον*): *Chron. Pasch.* 713, 11 Joh. Malal. 490, 3 1 *συγκαλύπτρα* (cf. *-υμμα -υψις*) 'operculum': *ἅπ. λεγ.* 3 *μυσταγωγεῖσθαι* Paus. Damasc. 156 D

tit. *τὸ* om. Ma

## XLIII.

**εἰς τὸ τέμπλον.**

*Θεῖαν τράπεζαν πρὸ προσώπου σου βλέπων,*
*αἰδοῦ τὸ σεπτόν, καὶ ὅλως στῆθι φόβῳ.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

tit. *τέμπλον* (alias id. ac *ναός*): pars aedis sacrae inter *βῆμα* et templi corpus ap. Theod. St. *PG* 99, 1796 *Typic.* in *PG* 127, 59, al.

tit. *τὸ* om. *x* / *τέμπλον* ego: *-βλ-* codd.

## XLIV.

### εἰς τὸ ἅγιον θυσιαστήριον.

*Φρικτὸν τὸ βῆμα τοῦτο, καὶ πλῆρες φόβου,*
*ναὸς Θεοῦ φωτεινός, ἁγνοῖς ἀπτέος.*
*Πρόσελθε θείως, καὶ μεθέξεις ἀξίως·*
*πῦρ γὰρ τὸ δῶρον τοὺς ἀναξίους φλέγον.*

tit. *θυσιαστήριον* LXX ex. 27, 1 *NT* Matth. 23, 18 1 *βῆμα* 'tribunalis' vi usurp. Isocr. ep. 8, 7 Matth. 27, 19: cf. Or. Sib. 2, 218 Paul. 2 Cor. 5, 10

tit. *τὸ* om. Ma 1 *βῆμα* N*y*: *κῦμα* V / *φόβου* NV[sl] *y*: *-ῳ* V[1]

## XLV.

### εἰς τοὺς πυλῶνας τοῦ νάρθηκος.

*Πύλας διάρας τοῦ ναοῦ τῶν ἐνθάδε,*
*ἴθι προσοίσων πνεῦμα συντετριμμένον·*
*καὶ τοῦτο θῦμα δεκτόν ἐστι Κυρίῳ.*

tit. *νάρθηκος*: cf. Et. M. 597, 48 1 *τὸ στόμα διαίρειν* Dem. XIX 112, 207 2 cf. *τὴν καρδίαν συντρίβειν LXX* ps. 146 (147) 3; infra 94, 9

tit. *τοὺς* om. Ma

## XLVI.

### εἰς τὴν πρώτην εἴσοδον τοῦ ναοῦ.

*Οἴκου Θεοῦ μέλλοντες εἰσβαίνειν πύλην,*
*ἔξω γένοισθε τῆς μέθης τῶν φροντίδων·*
*ἵν' εὐμενῶς εὕροιτε τὸν κριτὴν ἔσω,*
*λύσεις ὑμῖν διδοῦντα τῶν ὀφλημάτων.*

tit. *τὴν* om. Ma 1 *Θεοῦ* om. N 2 om. Pn 4 *ὑμῖν* N*y*: *ἡ-* V

## XLVII.

### εἰς ναοῦ εἴσοδον· εἰς τὸν σταυρόν.

*‘Ἔχων με φρουρόν, μὴ πτοοῦ κτύπους φέρων·*
*καυστὴρ γάρ εἰμι φρικτοειδὴς δαιμόνων’.*

1 *κτύπος*: de ostio pulsando Aen. tact. 20, 4 2 *καυστήρ* Hipp. haem. 6: metaph. cf. *καυστηριάζω* ap. Paul. 1 Tit. 4, 2 (v. sch. Lucian. 137, 11 Rabe) / *φρικτοειδής*: ἅπ. λεγ.

tit. om. Ma / *τὸν* om. *x* 1 *ἔχων με* Pn*y*: *-ω μεν* N *-ομεν* V / *φέρων* NPn: *φόβων* V*y*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

## XLVIII.

**ἐπίγραμμα εἰς σταυρούς.**

*Ἐφ᾽ ᾧ τυποῦμαι, χώραν οὐ Σατὰν ἔχει·*
*καθεῖλε γὰρ τὸ κράτος αὐτοῦ Παντάναξ.*

2 *Παντάναξ* (cf. 36, 2, 52, 1): Joh. Damasc. *PG* 96, 821c

2 *καθεῖλε* s: *-α* xy / *παντάναξ* Pn (cf. 52, 1): *-άπαξ* NV*y*

## XLIX.

**ἄλλο.**

*Σοῦ τῇ θέᾳ πόρρωθεν ὁ δράκων τρέχει,*
*τύπον σε δέρκων τοῦ θεοπλόκου ξύλου.*

2 *θεοπλόκου*: cf. Nicet. Paphl. *PG* 105, 40d (*σαγήνη*) / *ξύλον* seu 'crux': *LXX* gen. 40, al.

tit. *ἄλλο* N[m]: *-α* P om.VMa

## L.

**ἄλλο.**

*Ὦ σταυρέ, φῶς μου, λάμπε μοι παντὶ χρόνῳ,*
*πόρρω διώκων τῆς ψυχῆς μου τὸ σκότος.*

tit. *ἄλλο* N: *-α* P om.VMa 1 *μου* V*y*: *μοι* N

## LI.

**ἄλλο.**

*Οὗτος πεπηγὼς ἐν τόπῳ τοῦ Γολγοθᾶ,*
*ἤνθησε κόσμῳ ζωτικὴν εὐκαρπίαν.*

2 *ἤνθησε* transit. ap. Theodoret. *PG* 80, 85a / *πνεῦμα ζωτικόν* *LXX* sap. Sal. 15, 11

tit. *ἄλλο* NP: om.VMa

## LII.

**ἄλλο.**

*Ἐν τῷδε χεῖρας ἐξαπλοῦς ὁ Παντάναξ,*
*ἤγειρε κόσμον ἐκ βαράθρου πταισμάτων.*

1 *τὴν χεῖρα ἐξαπλοῦν* Sext. Emp. math. II 7 / *Παντάναξ*: cf. ad 48, 2  2 *βάραθρον*: metaph. Lucian. am. 5

tit. *ἄλλο* NP: om.VMa 2 *βαράθρου* V*y*: *-ων* N

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

LIII.

**ἄλλο.**

*Χαίροις, τρόπαιον τῆς ἄνω παντευχίας·*
*ἐν σοὶ τέτραπται πᾶσα δαιμόνων φάλαγξ.*

1 *παντευχία* (v. l. cum *πανοπλία* in *LXX* 4 Macch. 3, 12): Eur. Heracl. 787

tit. *ἄλλο* NP : om.VMa 2 ~ *πᾶσα* 54, 2 *πέπαυται* om.V

LIV.

**ἄλλο.**

*Χαίροις τρισευλόγητον, ἄχραντον ξύλον·*
*ἐν σοὶ πέπαυται τῆς ἀρᾶς ἡ θνητότης.*

2 *ἀρᾶς*: cf. ad 28, 10 / *θνητότης*: Diog. Oen. 36

tit. *ἄλλο* NP : om.Ma

LV.

**ἄλλο.**

*Χαίροις, μοναστῶν παντέλαφρον φορτίον·*
*ἐν σοὶ γὰρ αὐτοῖς κοῦφος ὁ Χριστοῦ δρόμος.*

1 *παντέλαφρον*: ἅπ. λεγ. 2 *δρόμος*: cf. ad 14, 11

tit. *ἄλλο* N: om.V*y* 2 inter *ὁ* et *Χριστοῦ* ras. sex litterarum P

LVI.

**ἄλλο.**

*Χαίροις, φυλακτὴρ οὗ παρεδρεύεις τόπου·*
*σκέποις ἀσινῶς τοὺς μένοντας ἐνθάδε.*

1 *φυλακτὴρ* Hom. 2 *ἀσινῶς*: Hippocr. epid. 1, 1 Arist. *HA* 617a 3

tit. *ἄλλο* N : V*y*

LVII.

**ἄλλο.**

*Τυπῶν μέ τις καὶ μόνον ἔμ που δακτύλῳ,*
*εὐθὺς τὸν ἐχθραίνοντα δαίμονα στρέφει.*

tit. *ἄλλο* Pn : om.NV*y* 1 *ἔμπου* codd.

LVIII.

**ἐπιγράμματα μονόστιχα εἰς σταυροὺς μοναστῶν.**

*Σταυρὸς βλεπόντων ἀστραπηφόρον σέλας.*

*

*Σταυρὸς μοναστῶν εὔδρομος σωτηρία.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*

*Σταυρὸς φιλούντων ἐνθέως πορνοκτόνος.*

*

*Σταυρὸς κλαόντων ἐξαλείπτωρ πταισμάτων.*

*

*Σταυρὸς φιλάγνων ἀσφαλέστατος φύλαξ.*

1 *ἀστραπηφόρον πῦρ* Eur. Bacch. 3 2 *εὔδρομος*: metaph. ap. Max. Tyr. 16 3 *ἐνθέως* Jambl. *VP* 32, 216 / *πορνοκτόνος*: ἅπ. λεγ. 4 *ἐξαλείπτωρ* (cf. *-ειπτικός -λειψις*): ἅπ. λεγ. cf. *τὰς ἁμαρτίας ἐξαλείφειν* act. Ap. 3, 19 5 *φιλάγνων* (cf. *φιλαγέννητος* Greg. Naz. *PG* 36, 88c): ἅπ. λεγ.

tit. *ἐπιγράμματα μονόστιχα εἰς σταυροὺς μοναστῶν y* (*μοναστῶν* om.M): *ἐπ. εἰς στ. μοναστ. x* 4 *κλαόντων* V*y*: *-αίο-* N

## LIX.

### ***ἄλλο.***

*Πᾶς ὁ γράφων με καὶ γράφειν Χριστὸν θέλε,*
*ἐπείπερ αὐτὸς συμπέπλεκταί μοι πάθει.*
*Ἐμοῦ γὰρ ἐχθρὸς καὶ καθαιρέτης πέλει*
*ὁ μὴ γράφων ἐκεῖνον, εἰ καί με γράφει.*

tit. *ἄλλο* N: om.V*y*

## LX.

### ***μονόστιχον.***

*Βροτοὺς δᾳδουχῶ καὶ σκοταρχοῦντας φλέγω.*

1 *σκοταρχοῦντας*: ἅπ. λεγ.

tit. om.Ma 1 *φλέγω* om.V

## LXI.

### ***εἰς τὸν Πρόδρομον.***

*Εἰκὼν ὑπάρχω τοῦ σεβαστοῦ Προδρόμου,*
*καὶ τοὺς πόθῳ με προσκυνοῦντας ἀξίως,*
*ὡς εἰς ἐκεῖνον τὴν τιμὴν ποιουμένους,*
*σώους φυλάττω αἱρετιζόντων πλάνης.*

4 acc. pl. *σώους* *LXX* 3 Macch. 2, 7

tit. *τὸν* om.Ma 4 *φυλάττω* Ma: *φύλαττε* Ps

## LXII.

### ***εἰς τὸν ἅγιον Ἰωάννην τὸν Θεολόγον.***

*Βροντῆς τὸν υἱόν, ἀστραπὴν τὴν τοῦ λόγου,*
*ὁρῶν σε γραπτὸν φωτιοῦμαι τοὺς νόας.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*Σὺ γὰρ προσάψας πυρσὸν ἀφθάρτων λόγων*
*λῦσαι φθάνεις τὸν κόσμον ἐκ σκότους πλάνης.*

3 *ἅψαι πυρσὸν ὕμνων* Pind. *I* 4 (3) 43 (cf. *AP* 5 praef.); *πυρσὸν ἄναπτε κακῶν* *IG* XII (5), 229, 14

tit. *τὸν* om. Ma 3 *ἀφθάρτων* *s*: *-στ-* *y* 4 *λῦσαι φθάνεις* *s* m.gr.: inv. ord. *y*

## LXIII.

### *εἰς τὸν ἅγιον Παῦλον τὸν ἀπόστολον.*

*Χαίροις, δοχεῖον γνώσεως Θεοῦ μέγα,*
*ἐξ οὗ τὰ θεῖα πάντες ἀντλοῦσι σφόδρα.*
*Ἐκ γὰρ πλάνης σὺ κόσμον ἐκσπάσας ὅλον,*
*εἰς ὕψος ἦλθες, οὐρανὸν τρίτον φθάσας.*

1 *δοχεῖον*: Gal. II 374 E.

tit. *τὸν* om. Ma 4 *οὐρανὸν* P: *-ῶν* Ma

## LXIV.

### *εἰς τὸν ἅγιον Ζαχαρίαν.*

*Σὺ τῶν προφητῶν τὸν μέγιστον αὐγάσας,*
*Θεοῦ προφήτης χρηματίζεις καὶ θύτης·*
*καρπὸν δὲ θεῖον προσφέρων τῷ Δεσπότῃ,*
*θύῃ μαχαίρᾳ πρὸ τραπέζης Κυρίου.*

tit. *ἅγ. Ζαχαρίαν*: *BHG*² 1880 2 *χρηματίζεις*: cf. ad 28, 10

tit. *τὸν* om. Ma 3 *καρπὸν* P: *-ῶν* Ma

## LXV.

### *εἰς τὸν ἅγιον Διονύσιον.*

*Πολὺς τὰ θεῖα χρηματίζων, τρισμάκαρ,*
*τοὺς ἀγγέλους σὺ μυστικῶς διαγράφεις,*
*καὶ συμπεραίνων πᾶσαν ἱεραρχίαν,*
*τὸν κόσμον ἔνθεν δογμάτων πληροῖς πλάτει.*

tit. *ἅγ. Διονύσιον*: *BHG* 544 ss.

tit. *τὸν* om. Ma 1 *τρισμάκαρ* codd. παροξυτονήσεως gr. cf. ad 70, 2

## LXVI.

### *εἰς τὸν ἅγιον Βασίλειον.*

*Ἤστραψας αἴγλῃ τοῦ φαεινοῦ σου βίου,*
*καὶ φαιδρύνεις τὸν κόσμον ἔργοις καὶ λόγοις.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*Λαβὼν δὲ τὰς κλεῖς καὐτὸς ὡς Πέτρος νέος,*
*φύλαξ ὑπάρχεις τῆς πάσης Ἐκκλησίας.*

tit. *ἁγ. Βασίλειον*: *BHG* 244 ss. 1 *ἤστραψας*: cf. ad 36, 3 / *αἴγλη* Hom.

tit. *τὸν* om.Ma

## LXVII.

### εἰς τὸν ἅγιον Γρηγόριον τὸν Θεολόγον.

*Βροντῶν τὰ θεῖα τῇ βοῇ τῶν δογμάτων,*
*ἤχησας ὄντως τὴν ὑπ' οὐρανόν, μάκαρ.*
*Καὶ πάσας ἀπρὶξ μωράνας τὰς αἱρέσεις,*
*τὸν κόσμον ἐστήριξας ἐν τοῖς σοῖς λόγοις.*

3 *μωράνας* trans.: vulgo in media forma usurp. *LXX* Reg. 2, 24, 6, al.

tit. *τὸν* om.Ma 1 *δογμάτων* P : *δακρύων* Ma

## LXVIII.

### εἰς τὸν ἅγιον Γρηγόριον τὸν Θαυματουργόν.

*Ὡς ἥλιός τις ἐν βίῳ λάμψας μέγας,*
*διασκεδάζεις νύκτα τῆς μοχθηρίας.*
*Καὶ θαυματουργῶν τῶν προσευχῶν τῷ φάει,*
*ἀπεκδιώκεις δαιμόνων σμήνη, Πάτερ.*

tit. *ἁγ. Γρηγόριον τ. Θαυματουργόν*: *BHG* 715 (Neocesarensis) 2 *διασκεδάζεις (-έδασις -εδασμός)*: *LXX* ps. 32 (33), 10

tit. *τὸν* om.Ma 1 *τις* P : *τῆς* Ma 4 *ἀπεκδιώκεις* P : *ἀποδιό-* Ma

## LXIX.

### εἰς τὸν ἅγιον Ἐπιφάνιον.

*Ἑωσφόρον σε πράξεως ἡ λαμπρότης*
*ἔδειξεν ὕψει τῶν μεγίστων θαυμάτων.*
*Ἐξ ἧς τὰ ῥεῖθρα πλημμυρῶν τῶν δογμάτων,*
*πάντων θρίαμβος αἱρετιζόντων πέλεις.*

tit. *ἁγ. Ἐπιφάνιον*: *BHG* 596 ss. 1 *ἑωσφόρος* de Lucifero saepe dictum: Orig. *PG* 14, 45c, al. cf. 75, 3 4 *θρίαμβος*: id. quod Roman. 'triumphus' Polyb. IV 66, 8

tit. *τὸν* om.Ma

## LXX.

### εἰς τὸν ἅγιον Ἰγνάτιον τὸν Θεοφόρον.

*Ἔχων ἔρωτα Χριστὸν ἐν σῇ καρδίᾳ,*
*ἀποστόλων σύσκηνος ὤφθης, τρισμάκαρ·*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*Ἄθλοις δὲ θερμοῖς ἐκφλογίζων τὴν πλάνην,*
*ἐπιστολαῖς σου Παῦλος ἄλλος τις πέλεις.*

tit. *ἁγ. Ἰγνάτιον τ. Θ.* : *BHG* 813, ss. 3 *πλάνην* : cf. ad 33, 12

tit. *τὸν* om. Ma 2 *τρισμάκαρ* : cf. ad 65, 1 *τρὶς μάκαρ* fort. scrib. cf. ε 306 *τρὶς μάκαρες καὶ τετράκις*

## LXXI.

**εἰς τὸν ἅγιον Ἀθανάσιον.**

*Τίς τοὺς ἀγῶνας τῶν πόνων τῶν σῶν φράσοι,*
*ὦ πενταθλητά, τῶν διδασκάλων κλέος;*
*Ὑπὲρ Θεοῦ γὰρ ὡς γίγας δραμὼν μέγας,*
*στεφηφορῶν καθεῖλες ἐχθροὺς παγκάκους.*

tit. *ἁγ. Ἀθανάσιον* : *BHG* 181-82 an 183-86? 2 *πενταθλητά* (cf. *-λέω -λία -λος -λον,* etc.) ἅπ. λεγ. : metaph. *πένταθλος (ἀνήρ)* Plat. amat. 138e Diod. Sic. IX 37 (*ἐν φιλοσοφίᾳ*) 4 *στεφηφορῶν* (sc. *στεφανηφ.*) : Dion. Hal. I 466

tit. *τὸν* om. Ma

## LXXII.

**εἰς τὸν Χρυσόστομον.**

*Πηγὴν ἄληκτον παγχρύσων λόγων βλύσας,*
*ὅλην κατάρδεις τὴν ὑφήλιον, μάκαρ·*
*θύρας δ᾽ ἀνοίγων τοῖς βροτοῖς σωτηρίας,*
*εἰς οὐρανοὺς τὸν κόσμον ἐκπέμπεις ὅλον.*

1 *ἄληκτον (ἀ-λήγω)* : Phil. I 381 *IG* XIV 2126, 6 / *βλύζειν ἀπὸ τῶν πηγῶν τῆς ἀβύσσου* Theoph. *PG* 8, 19

2 *κατάρδεις* Ma : *-οις* Ps

## LXXIII.

**εἰς τὸν ἅγιον Κύριλλον.**

*Θησαυρίσας τὰ θεῖα ποικιλοτρόπως,*
*ἐπλούτισας τὸν κόσμον ἐνθέοις λόγοις·*
*καὶ τὰς βεβήλους αἱρέσεις κατασπάσας,*
*κήρυξ πέφηνας ὀρθοδόξων δογμάτων.*

tit. *ἁγ. Κύριλλον* : *BHG* 467 1 *ποικιλοτρόπως* : ἅπ. λεγ.

## LXXIV.

**εἰς τὸν ἅγιον Γρηγόριον τὸν Νύσσης.**

*Βρύων ἄβυσσον παγγλύκων λόγων, μάκαρ,*
*πᾶσαν νοητῶς ἐξετίναξας πλάνην.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*Καὶ χρηματίζων Μωϋσῆς ἄλλος μέγας,*
*ἄγεις ἄριστα τὸν λεὼν τοῦ Κυρίου.*

1 *βρύων*: cf. ad 1, 1 / *παγγλύκων* (cf. *παγγλυκερός* Ar. Lys. 170): *ἄπ. λεγ.* 2 *πλάνην*: cf. ad 33, 12 3 *χρηματίζων*: cf. ad 28, 10 / *Μωϋσῆς*: aliter 6, 1, 81, 4

tit. *νόσσης s*: *νόσης y* 1 *ἄβυσσον* Ma: *-υσον* P

## LXXV.

### εἰς τὸν ἅγιον Θεόδωρον τὸν Σικεώτην.

*Θεοῦ σὺ δῶρον τοῖς βροτοῖς δοθεὶς μέγα,*
*ἅπαν καθεῖλες δαιμόνων στῖφος, πάτερ.*
*Λάμψας γὰρ εὐθὺς ὡς ἑῷος φωσφόρος,*
*ἰσάγγελος πέφηνας ὕψει τοῦ βίου.*

tit. *ἅγ. Θεόδωρον τ. Σ.*: *BHG* 1748 s. 3 *ἑῷος φωσφόρος*: cf. 77, 2, 78, 4 4 *ἰσάγγελος* Luc. 20, 36 Clem. Al. *PG* 8, 293b

tit. *τὸν* om. Ma

## LXXVI.

### εἰς τὸν ἅγιον Ἀντώνιον.

*Στύλος πυρὸς πέφηνας αἴγλῃ τοῦ βίου,*
*κόσμον ποδηγῶν εἰς τρίβον σωτηρίας.*
*Τῶν δαιμόνων δὲ τὰς φάλαγγας πτερνίσας,*
*ἔρημον ᾤκεις ὡς Ἐδέμ τις ἀγγέλων.*

tit. *ἅγ. Ἀντώνιον*: *BHG* 140 s. 3 *πτερνίσας*: Hippiatr. 40 Od.-Hopp., Lex. Sud. s.v.

tit. *τὸν* om. Ma

## LXXVII.

### εἰς τὸν ἅγιον Ἱλαρίωνα.

*Τῇ λαμπρότητι τοῦ φαεινοῦ σου βίου,*
*ἑωσφόρος τὸ πρωῒ λάμπων σὺ πέλεις·*
*καὶ θαυμάτων ἀκτῖσι κόσμον φαιδρύνων,*
*ζόφον διώκεις βλαπτικὸν τῶν δαιμόνων.*

tit. *ἅγ. Ἱλαρίωνα*: *BHG* 752 ss. 2 *ἑωσφόρος*: cf. ad 69, 1 / *τὸ πρωΐ*: *LXX* gen. 44, 3, 21, 14.

tit. *τὸν* om. Ma 3 *φαιδρύνων* Ma: *καταφ-* P

## LXXVIII.

### εἰς τὸν ἅγιον Εὐθύμιον.

*Σὺ τὴν ἔρημον εἰργάσω Θεοῦ πόλιν·*
*πυκνοῖς γὰρ αὐτὴν πλήθεσι Χριστοφρόνων,*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*βολαῖς ἀπαστράψας δὲ ταῖς τῶν θαυμάτων,*
*τὸν πάντα κόσμον φαιδρύνεις ὡς φωσφόρος.*

tit. *ἅγ. Εὐθύμιον*: *BHG* 647 ss. 2 *πυκνοῖς*: cf. Arist. mete. 364b 24 *νέφεσι π. τὸν οὐρανὸν* (de ventibus) / *Χριστοφρόνων*: *ἅπ. λεγ.* cf. 85, 2 3 *ἀπαστράψας*: cf. ad 36, 3 4 *φωσφόρος* de Lucina dict. ap. Dion. Hal. II cf. 75, 3

tit. *τὸν* om.Ma

## LXXIX.

### εἰς τὸν ἅγιον Σάββαν.

*Ἥρωσας ὄντως τὴν ἔρημον τοῖς πόνοις,*
*ὡραιότατα ποικίλων ἔργων βρίθων,*
*πλήσας δὲ ταύτην τῶν νοητῶν ἀστέρων,*
*ὡς ἥλιός τις ἐν μέσῳ τούτων θέεις.*

tit. *ἅγ. Σάββαν*: *BHG* 1608 ss. 2 *βρίθων* Hom.

tit. *τὸν* om.Ma / *Σάββαν* P : *-άβα-* Ma 1 *ἥρωσας* codd. metr. gr. pro *ἡρο-*

## LXXX.

### εἰς τὸν ἅγιον Δαλμάτον.

*Ἐξ ἡλίου τις αὐγάσας ἀστὴρ μέγας,*
*λάμπεις σὺν αὐτῷ παμφαεῖς εὐπραξίας,*
*ἔρεισμα δ' ἀμπέφηνας ὀρθοδοξίας,*
*μανδραρχαΐζεις τῶν μοναστῶν πατρόθεν.*

tit. *ἅγ. Δαλμάτον*: *BHG* 481-83 de nomine cf. *Vitam* ab A. Banduri, Imper. Orient. II, Parisiis 1711, 697-710, in lucem prolatam, ubi *Δαλμάτιος*, aliam de qua *act.SS* Aug. I 215, 217, 221 (3. ed. 216, 218, 222) ubi *Δαλμάτος* 2 *λάμπεις* trans: cf. Eur. Hel. 1131 4 *μανδραρχαΐζεις* (*μάνδρα* = *μονή* Epiph. *PG* 41, 156d, al. sed cf. 125, 2): *ἅπ. λεγ.*

tit. *τὸν* om.Ma / *δαλμάτον* P : *-άτων* Ma *-άτιον* s 3 *ἀμπέφηνας* Mi : *ἂν φύναντες ys ἂν πέφηνας* Tomadakis

## LXXXI.

### εἰς τὸν ἅγιον Παχόμιον.

*Τὸν Ἀβραάμ πως ἐκμιμούμενος, μάκαρ,*
*πολλῶν πατὴρ γέγονας, ὧν χρυσοῦν γένος.*
*Ἐξ ἀγγέλου δὲ μυσταγωγίας φέρων,*
*τῷ σῷ λεῷ τέθεικας, ὡς Μωσῆς, νόμους.*

tit. *ἅγ. Παχόμιον*: *BHG* 1396 ss. 4 *Μωσῆς*: cf. ad 6, 1 aliter 74, 3

tit. *τὸν* om.Ma

## LXXXII.

### εἰς τὸν ἅγιον Ἀρσένιον.

*Τῶν δακρύων σου τὴν ψυχὴν ἄρδων χύσει,*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*καρποὺς ἀνεβλάστησας ἀφθάρτους μάλα·*
*εὐχαῖς δὲ λαμπραῖς προσλαλῶν Θεῷ σφόδρα,*
*τῶν ἡσυχαστῶν ἄγγελος πέλεις μέγας.*

tit. *ἁγ. Ἀρσένιον*: *BHG* 168 s. cf. Theod. Stud. laudat. Ars. Monach. *PG* 99, 849-81  4 *ἡσυχαστής*: Pallad. vit. Chrys. 29e Justin. nov. 5, 3

tit. *τὸν* om. Ma  3 *δὲ y* : *δὴ s*

## LXXXIII.

### *εἰς τὸν ἅγιον Θεοδόσιον.*

*Ὡς οὐρανὸν ὑψηλὸν ἐκτείνας βίον,*
*κατάστερος πέφηνας ἐν πλήθει τέκνων.*
*Τὰς ἀστραπὰς δὲ πληθύνων τῶν θαυμάτων,*
*ἐσκόρπισας παντοῖα δαιμόνων νέφη.*

tit. de Theodosio monacho prope Hierosolyma († 529) an de Theodosio asceta in Cilicia, s. V, agaturne incertum; cf. *BHG* 1776-79  2 *κατάστερος*: Greg. Naz. *PG* 36, 60b  4 *σκορπίζω*: *LXX* Reg. 2, 22, 15 (damnat Phryn. 218)

tit. *τὸν* om. Ma

## LXXXIV.

### *εἰς τὸν ὅσιον Δῖον.*

*Ταῖς λαμπρότησι τῶν θεαυγῶν σου τρόπων,*
*ἐκ τῆς ἑῴας φαιδρὸς ἀστὴρ ἐκθέεις·*
*καὶ φωτίσας ἄριστα τὴν Βυζαντίδα,*
*πρῶτος μοναστῶν ποιμνιαρχεῖς ἀξίως.*

tit. *ἁγ. Δῖον*: cf. Synax. eccl. Const. Iul. XIX n. 2 (829 s. Delehaye) 1 *θεαυγῶν*: Nicet. Paphlag. *PG* 105, 41c  2 *τῆς ἑῴας* (de Asia Orientali): Julian. 392c Sp., al. cf. Athan. *PG* 25, 312d *οἱ τῆς ἑῴας* (sc. *ἐπίσκοποι*)  4 *ποιμνιαρχεῖς*: ἅπ. λεγ. cf. *ποιμνιάρχης* (i.e. *ὁ ποιμνίου ἄρχων*) Theod. St. *PG* 99, 816bc

tit. *τὸν* om. Ma / *ὅσιον y* : *ἅγιον s*  4 *ποιμνιαρχεῖς* ego: *-ηαρ- y* / *ἀξίως* Ma : *ἀρξ-* P

## LXXXV.

### *εἰς τὸν ἅγιον Χριστοφόρον.*

*Οἰκεῖον αἷμα τῷ Θεῷ δούς, ἀντέχει*
*ὁ Χριστόμαρτυς Χριστόφρων Χριστοφόρος*
*κρήνην χέουσαν θαυματουργίας ῥύσιν.*
*Ἥνπερ πίνοντες οἱ νοσοῦντες βηχίον,*
*καταψύχουσι τοῦ πάθους, δίψης δίκην,*
*μάλισθ' ὅταν φοιτῶσι πιστῶς ἐνθάδε.*

tit. *ἁγ. Χριστοφόρον*: *BHG* 309 ss.  2 *Χριστόμαρτυς*: Theod. St. *PG* 99, 1228a /

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*Χριστόφρων*: cf. ad 78, 2 4 *βηχίον (βήξ)* 'tussis': Diosc. eupor. II 31 p. 243
5 *καταψύχουσι*: *LXX* gen. 18, 4

tit. *τὸν* om. Ma / *ἅγιον* *y*: *ὅσιον* *s*

## LXXXVI.

**εἰς ναὸν τοῦ ἁγίου ἀποστόλου Πέτρου.**

Ὥσπερ δέδωκας, Χριστέ, τὰς κλεῖς τῶν ἄνω,
ἔδειμα τούτῳ τόνδε τὸν δόμον κάτω.

tit. *ναὸν* *y*: *ναῦν* *s*

## LXXXVII.

**εἰς τὸν ἅγιον Ἀνδρέαν τὸν ἀπόστολον.**

Ὦ πρωτόκλητε, τῶν ἀποστόλων κλέος,
ὁ παμμέγιστος τῶν Πατρῶν φαεσφόρος,
τὸν σὸν λεὼν φύλαττε σὺν τῷ ποιμένι.

1 *πρωτόκλητε*: cf. *Act. cum laud. context.* ed. Bonnet, « Anal. Boll. » XIII, 311-52, inc. *τὸν πρωτόκλητον τῆς ἀποστολικῆς δυοδεκάδος Ἀνδρέαν κτλ.* Epiphan. Vit. p. 82 Dressel (= *PG* 120, 260) *ἐτελειώθη δὲ ὁ ἅγιος καὶ πρωτόκλητος κτλ.* v. *BHG* 93-108 2 *παμμέγιστος*: Ael. *VA* X 2

3 *λεὼν* Ma: *λαὸν* Ps

## LXXXVIII.

**εἰς τὸν ναὸν τοῦ Χρυσοστόμου.**

Τοῖς τὸν σὸν οἶκον παμπόθως ἐγερκόσι
πρεσβευτικὴν πρόσνειμε δωρεάν, Πάτερ.

1 *ναὸν ἐγείρειν* (i.e. 'erigere'): Joh. 2, 19 cf. Lucian. Alex. 10

1 *ἐγερκόσι* *z* sed cf. 90, 7: *ἠ-* Ps

## LXXXIX.

**εἰς τὸν ναὸν τῆς Πανευφήμου.**

Τοὺς ἐκ πόθου σου τὸν ναὸν δειμαμένους,
μάρτυς, φύλαττε πημονῆς ἐλευθέρους.

tit. *Πανευφήμου*: *BHG* 619-624

## XC.

**εἰς τὸ τετρακάμαρον.**

Θαυμαστὸν ὤφθης ἔργον ὡραῖον πάνυ,
ὡς ἐμψύχῳ δὲ προσλέλειγμαί σοι νέως.
Φέρεις γὰρ ἔνδον εἰκόνων θεωρίαν,
ἄρρητον ὄψιν τῶν ἄνω θεαμάτων.

3-7-1958

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*Αὐτὸν δέχοιο, τῶν ἀποστόλων κλέος,*
*εὐαγγελιστὰ παμμάκαρ Θεολόγε·*
*καὶ τοῖς πόθῳ σοι τοῦτον ἐξηγερκόσι,*
*χάριν παράσχου, καὶ λύσιν τῶν πταισμάτων.*

tit. *τετρακάμαρον* (aedes quattuor fornicum): cf. Heron. Jun. 172 Hul. 6 *πάμμακαρ*: *hymn. Orph.* 19, 3 7 *ἐξηγερκόσι* perfecti forma aliunde ignota: cf. ad 88, 1

4 *ἄνω* AP: *ἔνδον* Ma c. metr. / *θεαμάτων* *y*: -*σμ*- *s* 6 *παμμάκαρ* codd. an *πάμμακαρ* scrib.?

## XCI.

### εἰς τὸν ναὸν τῆς ἁγίας Θεοτόκου, εἰς τὸν Τρίτωνα.

*Ἡ πᾶσιν ἐγγὺς εἰς βοήθειαν τάχους,*
*τὸν πλοῦν διευθέτησον ὧν θερμῶς ἔχεις,*
*προσκειμένων σοι ταῖς λιταῖς σου, Παρθένε.*

2 *διευθέτησον*: Genes. p. 87, 18 (Bonn.)

tit. *τὸν*[1] om.A / *τὸν*[2] om.Ma / *Τρίτωνα* MaP: -*ο*- A

## XCII.

### εἰς ῥάκος ἱστορημένον.

*Φρικτὸν τὸ θαῦμα, Χριστὸν ἐν γραφῇ βλέπειν,*
*δράσαντα πάντα πρὸς βροτῶν σωτηρίαν·*
*ἐν τοῖς καθ' ἡμᾶς αὐτὸς ὤφθη γὰρ ξένως,*
*ἄσαρκος ἐλθών, καὶ βροτὸς βαίνων ἄνω.*
*Μνήμης χάριν δὲ προσφέρει δῶρον τόδε,*
*ὁ κλεινὸς ὄντως Συμεὼν τῷ Δεσπότῃ.*

1 *φρικτόν*: cf. ad 22, 3

tit. *ῥάκος ἱστορημένον* P: *ῥάκκος ἱστορισμένον* *z* 3 *ξένως* *y*: -*ος* *s*

## XCIII.

### εἰς τὴν εἰκόνα τοῦ Χριστοῦ.

*Ὁ Χριστός εἰμι τῇ γραφῇ δεδειγμένος*
*καὶ τὸν πεποιθῶς εἰκονουργήσαντά με,*
*ὡς αἵρεσιν μισοῦντα τῶν ἐναντίων,*
*Λέοντα Πατρίκιον, ἐν πᾶσι σκέπω.*

2 *εἰκονουργήσαντα* (cf. *εἰκονοποιέω* Justin. ap. 1, 19): ἅπ. λεγ. cf. *εἰκονουργία* Phot. *PG* 101, 948d 4 *Λέοντα Π.* de Leone isto Patricio ergaque monachos munifico, necnon monasticarum aedium conditore, cf. epp. 111, 112, 114; de eodem qui monachus fit simul cum uxore 119, 120; etiam v. Theodori *Vitam* passim; app. 110, 3, 125.



Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

## XCIV.

**εἰς ἔγκλειστον.**

Ἔγκλειστός ἐστιν ὃς παθῶν ἔξω μένων
ὅλην καθεῖρξε πρὸς Θεὸν τὴν καρδίαν·
κλείων λογισμοὺς τοὺς γυρευτὰς τῆς πλάνης,
νοῦν αὖτε πέμπων ταῖς ἄνω θεωρίαις,
ἔχων προσευχὴν καυστικὴν τῶν δαιμόνων,
φέρων σιωπὴν μυσταγωγοῦσαν βάθη,
ψυχὴν ἄθλιπτον ἐν χαρᾷ τῶν ἐλπίδων,
ἔργον τε χειρῶν, καὶ κόπον λαιμοῦ τόνῳ,
ᾠδὴν ἄπαυστον, πνεῦμα συντετριμμένον.
Οὕτως ἀνοίγων ἀγγελοπρεπεῖ θέᾳ,
ἀκτινολαμπεῖ τοὺς ὁρῶντας ἐνθέως·
λέγων μὲν οὐδὲν τῶν ἀχρήστων εἰς γέλως,
ἀλλ' ᾧπερ ἔστιν ὠφελεῖσθαι τὸν ξένον,
καὶ ταῦτα φεύγων μακρορημεῖν εἰς κόρον.
Ἂν οὖν δύνῃ πρὸς ταῦτα, σωστικῶς τρέχεις·
εἰ μὴ δέ, φεύγοις εἰς βίον ζώντων ἅμα,
ἐν ᾧ πλειόνως τοὺς ἀγῶνας λαμπρύνεις.

7 *ἄθλιπτος* (id. ac *ἀθλιβής*) Gal. IX 373: metaph. *PSI* I 65, 4 (VIp) 9 de clausula cf. ad 45, 2 10 *ἀνοίγων* 'conspicans nitens' ut vid.: hoc sensu hic tantum occurrit 11 *ἀκτινολαμπεῖ* (id. atque *ἀκτινοβολεῖ*): ἅπ. λεγ. 14 *μακρορημεῖν*: ἅπ. λεγ.

8 *ἔργον xy*: *-ων s* / *κόπον xy*: *-ου s* 13 *ᾧπερ s*: *ὅ- xy* 14 *μακρορημεῖν xz*: *-ρημονεῖν* P 15 *τρέχεις x*MaP: *-ῃς* A

## XCV.

**εἰς εὖ βιοῦντα.**

Σώφρων κράτιστος ὃς Θεοῦ βιοῖ φόβῳ.
Ψυχῆς κάθαρσις κρεῖσσον ἢ πλοῦτος ῥέων.

2 *κρεῖσσον* M*x*Ma: *-ων* P

## XCVI.

**εἰς μοναχούς, δακτυλικὸς καὶ ἐλεγεῖος.**

Χαίρετε, ἄνδρες ἀριστέες, τοῦ Ἀχιλῆος ὕπερθεν·
κτεῖναι μὲν Ἕκτορα οὗτος κρατερὸν ξιφέρῃ,
οἱ δέ, μοναζόντων θωρηξάμενοι πολιτείαν,
χεῖρε λαβόντες ἄορ εὐπειθοῦς τῆς ὁσίας.
Σφάξατε τὸν Βελίαρ, σκότεος μεγαλαύχεα νοῦα·

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

ἔνθεν ἀπήρκατε εἰς οὐρανὸν ἀθλοφόρως,
Δερματίδα προσαφέντες τἀνθάδε τὴν νεκρὰν μόνον.

5 ἄορ Hom. 6 Βελίαρ Paul. Cor. 2, 6, 15 / μεγαλαλαύχεα (vulg. μεγάλαυχος): Orph. hymn. 63, 3 Maneth. III 34 8 δερματίδα: ἅπ. λεγ.

6 ἀπήρκατε P: -είρ- Ma / ἀθλοφόρως P: -ος Ma 7 μόνον y: -ην s fort. recte

## XCVII.

### ἐπίγραμμα εἰς ἑαυτόν.

Ψυχὴ ταπεινή, δεῦρό μοι, δέξαι λόγον·
ὁ καιρὸς ὀξὺς ὡς δρομεὺς διατρέχων·
ἐγγὺς τὸ τέρμα, καὶ παρελθεῖν οὐκ ἔνι.
Μὴ δὴ κάμοιμεν ταῖς ματαίαις φροντίσιν,
ἀντλοῦντες ὄντως εἰς πίθον τετριμμένον,
ξαίνοντες εἰς πῦρ, ὡς γελοιωδῶς ἔχει.
Ἀλλ' εἴ τι θεῖον, εἴ τι σωστικὸν πέλει,
ταῦτα σκοποῦντες καὶ διώκοντες πόθῳ,
ὡς ἂν παρασταίημεν ἐν παρρησίᾳ
τῷ τῶν ἁπάντων καὶ Κριτῇ καὶ Δεσπότῃ,
τὸ πῦρ φυγόντες τῆς γεέννης, ὡς γράφει,
καὶ προστρέχοντες τῷ παναρρήτῳ φάει.

6 γελοιωδῶς: schol. Ar. Plut. 681

5 τετριμμένον xMa: -ημέ- P 10 κριτῇ... δεσπότῃ Vx: -ήν... -ην N 11 φυγόντες y metr. gr.: -ευγ- x

## XCVIII.

### ἐπίγραμμα ἐν τῇ φυλακῇ τῆς Χαλκίτου.

Ξένος Θεοῦ πέφηνεν ὅστις οὐ ξένα
ἔχει τὰ τῇδε πάντα τῶν ἄνω σχέσει.
Οὕτω γὰρ ὤφθη Δεσπότης πως τῶν κάτω.

de Theodoro in exsilium nec semel misso atque in carcerem coniecto cf. *Vitam* 22, 48, 81, 83 s., 87 ss. (*PG* 91, 139, 159, 187, 189, 193 ss.), epp. 99-101, 105a 1 ξένος Θεοῦ: cf. ad 3, 7 2 σχέσει: cf. ad 25, 7

tit. Χαλκίτου s: -ή- xy fere 3 ante hunc versum quaedam excidisse vid. / πως Vy: καὶ Ns

## XCIX.

### ἐν τῇ αὐτῇ φυλακῇ.

Ἔσχες με, κέλλα, τὸν ξένον παρ' ἐλπίδα·
εὗρον δ' ἐγώ σε φιλτάτην παροικίαν.

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*Βυζαντὶς ἡ πόλις με βάλλει κἀνθάδε,*
*λαθοῦσά τ' αὔτη προσπαθείας ἐξάγει.*

cf. ad 98 tit.

tit. om. V   1 *με* V*y*: *μὲν* N   4 *τ' αὔτη* *x*: *ταύτη* *y*; an *-τῃ* scrib.?

## C.

**ἐν τῇ αὐτῇ φρουρᾷ.**

*Ἐμοὶ τὸ σῶμα φρουρὰ καὶ μόνον πέλει·*
*τόπος δὲ πᾶς τις ἐξ ἴσου δεδωμένος.*
*Πάμπαν Θεοῦ γὰρ οὐ πάροικος τυγχάνω.*

cf. ad 98 tit.   3 *πάροικος*: *LXX* gen. 23, 4, al.; de Christiano in terra versante Diognet. *PG* II 1173b

2 *δεδωμένος* metr. gr. *x*$Ma^{pr}$: *-ομ-* P

## CI.

**ἐν τῇ αὐτῇ εἱρκτῇ.**

*Ὥραν καθ' ὥραν τοῦ βίου τέλος σκόπει,*
*καὶ μακρὰν ἐκ σοῦ τὴν ἀκηδίαν βλέποις.*
*Τῶν δαιμόνων γὰρ τὸ λέγειν· «Ἕως πότε»;*
*καὶ μὴ τὸ δόξαι τεθνάναι καθ' ἡμέραν.*

cf. ad 98 tit.   2 *ἀκηδίαν*: *LXX* ps. 118, 28, al. cf. Euagr. Sc. *PG* 40, 1273a *ὁ τῆς ἀκηδίας δαίμων* Nil. *PG* 79, 1157c *ἀκηδία ἐστὶν ἀτονία ψυχῆς* Cassian. *PL* 49, 359c: «sextum nobis certamen est quod Graeci *ἀκηδίαν* vocant, quam nos taedium, sive anxietatem cordis, possumus nuncupare»

2 *βλέποις* V*y*: *-εις* N   4 *τὸ* V*y*: *τοῦ* N

## CII.

**• ἐπίγραμμα εἰς τὰς φάνας.**

*Δοχεῖόν εἰμι τῆς ἀκοιμήτου φάνης,*
*ὑπερφαεῖς τὰς αὐγὰς ἐν ψυχαῖς φέρον.*
*Ὦ λαμπαδοῦχε τοῦ τριλαμποῦς ἡλίου,*
*ἄστραψον ἡμῖν φέγγος ἀστραπῆς πλέον,*
*φωτός με τεύξας, ὁ προσοίσας δ' εὐχάδε·*
*εὕροις μ' ἐκεῖθεν λάμψιν ἀρρήτου φάους.*

1 *δοχεῖον*: cf. ad 63, 1   3 *λαμπαδοῦχε*: Eur. *IA* 1506   4 *ἄστραψον*: cf. ad 36, 3   5 aor. inf. *οἶσαι* Phil. I 611 (dub. Herod. I 157) / *εὐχάδε*: ἅπ. λεγ. cf. Hom. *οἴκαδε* sim.   6 *λάμψιν*: Phil. I 72, al.

tit. *φανάς* fort. scrib. (Hes. fr. 47 Eur. Ion 550) cf. 1   1 *φάνης* παροξυτονήσεως fort. gr.   4 *φέγγος* $Ma^{prob}$: *φθ-* P

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

## CIII.

**πρὸς τὸ ἐπιμελῶς ἀναγινώσκειν τὰ ἐν τοῖς τοίχοις.**

*Γνῶθι παριὼν τῶν ἀναγράπτων μέρος·*
*Θεῖον γὰρ οὐδὲν ῥῆμά σοι παροπτέον.*

tit. om.V

## CIV.

**ἐπίγραμμα εἰς οἶκον γυναικῶν φιλοξένων.**

*Σπλάγχνοις ξενισμῶν εὐρυχωροῦσαι λίαν,*
*ὥσπερ τις ἄλλος Ἀβραὰμ πατροκράτωρ,*
*αἱ δεσποτοῦσαι τῆσδε τῆς παροικίας*
*πλῆθος μοναστῶν δεξιοῦνται σὺν πόθῳ.*
*Μισοξενούντων τὸ στενόψυχον πάθος*
*καταισχύνουσαι τῇ πολυσπλάγχνῳ σχέσει,*
*καὶ τὴν ἄνωθεν κτώμεναι σκηπτουχίαν.*

2 *πατροκράτωρ*: ἅπ. λεγ. 3 *δεσποτοῦσαι* (cf. *δεσπόζω*): ἅπ. λεγ. 5 *μισοξενία LXX* sap. Sal. 19, 13 / *στενόψυχον* ἅπ. λεγ. 6 *πολυσπλάγχνῳ*: Jacob. ep. 5, 11

2 *πατροκράτωρ* Pc : *-κάτ-* Ma 6 *πολυσπλάγχνῳ* P : *-άχν-* Ma

## CV.

**ἐπίγραμμα εἰς ξένους.**

*Χριστὸν ξενίζει πᾶς διατρέφων ξένους·*
*διὸ προθύμως τῆδε τοὺς ξενουμένους*
*μάλα τρέφοιτε, καὶ τραφήσεσθε ξένως.*
. . . . . . . . . . . . . . . . . . . . . . . . . .
(105a) *εἴργειν δοκοῦσα τὴν ἐμὴν γλῶσσαν σφάλειν.*
*Οὐ γὰρ Θεοῦ δεσμεῖν τις ἰσχύει λόγον,*
*δι᾽ ὅν με φρουρεῖς τῆδε, Βυζαντίς, πάλαι.*

5 *δεσμεῖν* (att. *-εύω*): Luc. 8, 29 Heliod. VIII 9 p. 263 Col. (damnat Moeris p. 122 Piers). 6 cf. ad 98 tit.

2 *ξενουμένους* ego: *-ομ-* Ma 4 ss. de alii carminis frustulo veri simil. agitur praecedenti perperam conglutinato 4 *σφάλειν* Ma παροξυτονήσεως gr. cf. 1, 8, 14, 5

## CVI.

**ἐπίγραμμα εἴς τινα τόπον τερπνόν.**

*Ὡραῖος εἴδει καὶ καλὸς τῇ συνθέσει,*
*ὁ τῆδε χῶρος τέρψιν ἐμποιεῖν ἔχων.*
*Ὅμως γε τερπνὸς οὐδὲν εἰς ἅπαν πέλει,*
*ὅταν κρίνοιτο πρὸς Θεοῦ θεωρίαν.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*Αὐτὸς γάρ ἐστιν ἡ πανώραιος θέα,*
*ἡ παμφαὴς τε καὶ διαρκὴς τερπνός τε.*
*Οὗπερ τὸ φίλτρον εἴ τις ἐκλάβοι ζέον,*
*σβέννυσι πᾶσαν τὴν ἐπίχθονον σχέσιν,*
*καὶ πυρποληθεὶς ἐνθέως τὴν καρδίαν*
*ἐκεῖ ποθοίη προσφθᾶσαι καὶ προσβαίνειν·*
*ὅπου θεαυγεῖ τὸ τρισήλιον κράτος,*
*ἔνθα τρυφῶσι τῶν δικαίων τὰ στίφη.*

5 *πανώραιος*: ἀπ. λεγ. 6 *διαρκὴς χώρα* Thuc. I 15 7 *ζέον*: cf. ad 5, 1 8 *ἐπίχθονον* metr. gr. / *σχέσιν*: cf. ad 25, 7 9 *πυρπολέω* Hom. 11 *θεαυγεῖ*: cf. ad 84, 1 / *τρισήλιον*: Eust. Al. *PG* 86, 1, 427 (*θεότης*) ps.-Ath. *PG* 28, 76 (*φῶς*)

## CVII.

### εἰς ἰάμβους συγγραφή.

*Τῶν τεττάρων γνοὺς γνώμας αὖ τε καὶ φράσεις*
*ἤσθην ἀληθῶς τοῦ κατευγλωττισμένου,*
*ὡς τετραήχους ὀργάνου μελουργίας,*
*εἰς πατρικόν πως ὕμνον ἐξηρτισμένου.*

2 *εὐγλωττίζω* Philostr. *VA* 6, 36 3 *τετραήχους*: ἀπ. λεγ.

2 *ἤσθην* ego: *ἴ-* Ma

## CVIII.

### ἐπίγραμμα εἰς τάφους.

*Ὁ χῶρος οὗτος μνημάτων ἕρκος πέλων*
*πότμου γενέσθω μνηματισμός σοι, φίλε.*
*Καί γε στενάξας ἐννοήθητι τρόμῳ,*
*ὡς μικρὸς ἤδη καὶ παρέρχῃ τοῦ βίου.*
*Ἐκεῖ πορευθεὶς οὐ μενεῖς αἰωνίως,*
*ἐκεῖ καταστὰς ἔνθα τῶν ἔργων κρίσις.*
*Ἂν ταῦτα δέξῃ, κερδανεῖς ψυχαῖς φάος.*

4 *παρέρχῃ*: cf. 17, 8 5 *αἰωνίως*: cf. ad 22, 10 7 *κερδανεῖς*: cf. ad 3, 8

4 *ἤδε κ.* fort. scrib. 7 *ψυχαῖς* an *ψυχῆς* inc.

## CIX.

### εἰς τὴν ἀδελφήν.

*Οὗτος τάφος σου καὶ δρόμου παντὸς πέρας,*
*ἔνθεν με εἰς τὸν Χριστὸν ὑπαντᾷ φόβος.*
*Φεῦ, πῶς, ἀδελφή, προὔλαβες κενῶν μένος;*
*Ποῦ μὲν παρῴκεις, ποῦ δὲ θάπτῃ, πῶς δέ τοι;*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*Οὔπω φοβῇ ⟨τὰ⟩ τῇδε κατ' ἐνυπνίων·*
*νύξ ἐστιν οὐ γάρ, ἡμέρας δ' ἐκεῖ κρίσις.*
*Μή μοι λάθοιο πρὸς Θεὸν δ', εἴ σοι λόγος,*
*Χριστῷ παρελθεῖν τὸν πολύστροφον βίον.*

1 *δρόμου*: cf. ad 14, 11

1 *σου* an *σὸν* Ma^c exhibeat inc. 5 *τὰ* inserui 8 *χρηστω* Ma

## CX.

### ἐπιτάφιος εἰς [κοσμικούς].

*Ὦ πικρὲ τύμβε, συμπέρας τὰ τοῦ βίου,*
*σὺν εὐφροσύνῃ καὶ Μαρίαν νῦν ἔχεις,*
*νύμφην μὲν οὖσαν τῆσδε τῆς Πατρικίας,*
*τιμωμέναν δὲ τῶν μεγίστων, ἀξίαν*
*τοῦ τὴν σπάθην ἐπ' ὦμον ἐν πρώτοις φέρειν,*
*ἐσθλὴν γυναῖκα τ' ἀνδρὶ προσφιλεστάτην,*
*οἰκουρὸν αὖ τε καὶ φιλάστολον πάνυ,*
*ἤθει καλλίστην, εὐκλεεστάτην γένει,*
*νεωστὶ τὸν παρόντα λιποῦσαν βίον,*
*πρὸς εἴκοσι τρεῖς ἐν τρισὶ ζωῆς χρόνοις.*

1 cf. 115, 1 / *συμπέρας*: ἅπ. λεγ. 3 *Πατρικίας*: dene Leonis ( cf. ad 93, 4 ) uxore agitur ?

tit. ad aliud idemque excisum carmen spectare videtur 6 *προσφιλεστάτην* ego: *προ-* Ma 7 *οἰκουρὸν* Ma / *πάνυ* ego: *-η* Ma 9 *λιποῦσαν* ego: *λειποῦσαν* Ma metr. gr.

## CXI.

### εἰς μοναστήριον ἀνδρῶν.

*Θεοῦ πόλιν τις εἰ καλοίη τὸν τόπον,*
*οὐκ ἂν διαπτάσειε τῆς θεωρίας.*
*Ὁρᾷς γὰρ αὐτόν, κυκλικῶς διαβλέπων*
*ναοὺς φαεινούς, ὡραϊσμένους ἄγαν,*
*Οἴκους ἐπ' οἴκους καλλισυνθέτους λίαν,*
*Κήπους φυτείας, ὡς Ἐδέμ, κεκασμένους,*
*Πᾶν εἴ τι τούτοις τερπνοειδῶς ἐμπρέπον.*
*Ἀνθ' ὧν θεώρει, δόξασον θεοφρόνως,*
*Μεμνημένος Λέοντος ἀξιοχρέως,*
*Τοῦ κτισματουργοῦ σὺν Θεῷ τῶν ἐνθάδε.*

4 *ὡραϊσμένην*: cf. ad 32, 1 5 *καλλισυνθέτους*: ἅπ. λεγ. 6 *καίνυμαι* Hom. 9 *Λέοντος*: cf. ad 93, 4 10 *κτισματουργοῦ*: ἅπ. λεγ.

7 *ἐμπρέπον* *y* fere: *-ων* *x* *ἐμβλέπων* *s* 8 *ἀνθ' ὧν* *y*: *ἀγαθῶν* *x* / *θεώρει* ego: *-ὲ* *xy* *-ὶ* *s* 10 *κτισματουργοῦ* *x*Ma: *-οῦν* P

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

## CXII.

***εἰς τὸ δοχεῖον τῆς αὐτῆς μονῆς.***

*Μονῆς ἀγαστῆς, τῆς καλουμένης νέας,*
*δοχεῖόν εἰμι καὶ προαύλιον ξένον,*
*πολλοὺς ξενίζον εἰς ἄμειψιν αἰσίαν*
*Λέοντος ἐσθλοῦ, δεσπότου τῶν ἐνθάδε.*

tit. *δοχεῖον*: cf. ad 63, 1   4 *Λέοντος*: cf. ad 93, 4

tit. *τὸ* om. Ma   2 *ξένων* fort. scrib.   3 *ξενίζον* Ma : *-ων* P

## CXIII.

***εἰς τὸ αὐτό.***

*Ὧδε ξενισθεὶς δεξιᾷ προμηθείᾳ,*
*ἀντίξενον φέροιμι δῶρον ὁ ξένος,*
*ὧν εὐποροίην τὸ κράτιστον εὖ μάλα,*
*ὁμοῦ σὺν εὐχαῖς τούσδε τέτταρας στίχους.*

2 *ἀντιξενίζειν* Philod. *π. κακιῶν* p. 30 Jens. cf. Eust. 1961, 37

## CXIV.

***εἰς τάφους.***

*Τὸ τερπνὸν εἰδὼς καὶ σκιῶδες τοῦ βίου,*
*Λέων ἔγωγε τῆς μονῆς ὁ συστάτης,*
*καλὸν τέτευχα τοῖς φιληλίοις τέγος,*
*τὸ τῇδε δῶμα τέρματος μνήμην φέρον.*
*Ἅπας γὰρ ἐσθλὸς θανάτου μεμνημένος,*
*φῶς εἰσδέχοιτο, καὶ παρέρχεται σκότους.*

2 *Λέων*: cf. ad 93, 4   6 *παρέρχεται*: cf. ad 17, 8

6 *παρέρχεται* P : *παρέχ-* Ma

## CXV.

***ἄλλο.***

*Ὦ τύμβε πικρέ, τῶν βίου γλυκασμάτων*
*πάντας κατασπῶν, οὐκ ἐπαρκεῖ χορτάσαι*
*μικροὺς μεγίστους, ὀλβίους ἀνεστίους,*
*σοφοὺς ἀμύστους, δυσπροσώπους εὐθέτους,*
*ὅλους ἀλήθων τέφραν ἴσχεις ἐξ ἴσου,*
*μηδὲν φέροντας ἢ μόνον τὰ πρακτέα,*
*ἅπερ παραστῇ τῷ Θεοῦ κριτηρίῳ·*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*Εἰ μὲν κράτιστα, δόξα τῷ κεκτημένῳ,*
*εἰ δ' αὖ κάκιστα, φεῦ τε τῷ φαυλοπράττῃ.*
*Ἄνθρωπε, λοιπὸν πρόσχες οἷόν σοι μένει.*

1 cf. 110, 1 / *γλυκασμάτων*: *LXX* prov. 16, 24   9 *φαυλοπράττῃ*: ἅπ. λεγ. 10 *λοιπόν*: cf. ad 14, 6

tit. *ἄλλο s*: *-α* P om. Ma   2 *χορτάσαι y*: *-σει s*   4 *δυσπροσώπους* Ma : *δρυσ-* P 7 *παραστῇ* $Ma^{ac}P^{pc}$: *-εῖ* $Ma^{pc}P^{ac}$   10 *μένει* P : *-ῃ* Ma

## CXVI.

### ἐπίγραμμα εἰς Στέφανον.

*Ὧδε Στέφανος ἐγκατέκλεισεν δέμας,*
*εἰκοστόπεμπτον ἐν βίῳ ζήσας χρόνον·*
*ῥάδαμνος, εὐθύς, ἀμφικαλλὴς διττόθεν,*
*ἐξ εὐγενοῦς μὲν αἵματος διαπρέπων,*
*ἑλὼν δὲ ῥάβδον ἐξ ἀνακτόρων κλέους.*
*Πᾶσι ποθητὸς χρηστότητι τῶν τρόπων,*
*γυναῖκα μὴ γνούς, ἀλλὰ παρθένος μένων.*
*ὅνπερ προμηθῶς, ἐξ ἀκανθῶν ὡς ῥόδον,*
*τοῦ τῇδε κόσμου Χριστὸς ἐξάρας τάχει,*
*ἔχει σὺν ἄλλοις δεξιᾷ χειρὶ στέφων.*

3 *ἀμφικαλλής*: ἅπ. λεγ.

1 *ἐγκατέκλεισεν* Ma : *-ε* P c. metr. / *δέμας* $MaP^{l}$: *ψυχῇ* $P^{sl}$   3 *εὐθύς* P : *-ής* Ma

## CXVII.

### εἰς οἰκίαν.

*Οἶκος δέδειγμαι τερπνοειδὴς εὖ μάλα*
*ἀνδρὸς κρατίστου καὶ πανευφήμου λίαν,*
*ὃς καὶ νεουργεῖ τὴν ὅλην μονὴν πόθῳ,*
*Θεῷ προσοίσας λύτρον ἀνθ' ἁμαρτάδων.*

2 *πανευφήμου*: Amel. ap. Porph. *VP* 67, 4   4 *προσοίσας*: cf. ad 102, 5

## CXVIII.

### εἰς κοιμηθέντα.

*Ὧδε προελθὼν ἐντέθαπται τῷ τάφῳ*
*Θεοφύλακτος ὁ τρισόλβιος μέροψ·*
*εὐνοῦχος μὲν ὤν, ἀλλὰ δεξιοῦ γένους,*
*εὔοπτος ἧλιξ, εὐσεβής γε καὶ μάλα.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*Ὃς πρωτοβαθρεῖ ἐν Σπαθαρίων στάσει,*
*ἐν μακρότησιν ἡμερῶν ἀνακτόρων.*
*Τὸν τῇδε ναὸν καὶ μονὴν παναισίαν*
*ἤγειρε τερπνῶς τῷ Θεῷ καὶ Δεσπότῃ,*
*εἰς λύτρον αὐτοῦ πταισμάτων τῶν ἐν βίῳ.*

2 *μέροψ* Hom. 5 *πρωτοβαθρεῖ* : *LXX* Es. 3, 1 / *σπαθαρίων* : Lyd. mens. 4, 28

## CXIX.

### *εἰς Ἴγνας τὴν μονήν.*

*Λέων ὁ κλεινὸς καὶ κράτιστος ἀνδράσιν,*
*τμηθεὶς συνεύνου Χριστοσυμπλόκῳ πόθῳ,*
*εἷλε μονήρους τὸν τρισόλβιον βίον,*
*ὡς προξενοῦντα τὴν ἄνω κληρουχίαν·*
*ὅλην προσάξας τῷ Θεῷ τὴν οἰκίαν,*
*μονὴν γυναικῶν χρηματίζειν αἰσίαν.*
*Καὶ τερματισμῷ τοῦ Θεοκλεοῦς δρόμου,*
*ὧδε τέθαπται, προσμένων τὴν ἡμέραν,*
*ἐν ἧπερ ἥξει Χριστὸς εἰς πάντων κρίσιν.*

1 *Λέων* : cf. ad 93, 4 2 *Χριστοσυμπλόκῳ* : ἅπ. λεγ. cf. *σύμπλοκος* Nonn. Dion. XII 339; supra 49, 2 4 cf. ad 32, 10 7 *τερματίζω* Sext. Emp. math. X 102 / *δρόμον* : cf. ad 14, 11

6 *χρηματίζειν ys* : *σχηματίζειν* Mi

## CXX.

### *εἰς τὴν αὐτοῦ σύμβιον.*

*Ἄννης τὸ σῆμα συμφυῶς ὧδε βλέπεις,*
*ὡς τῷ συνεύνῳ συμφρονησάσης ἴσα,*
*παθεῖν χωρισμὸν εἵνεκα Χριστοῦ μάλα,*
*καὶ τὸν μονήρους ἀσπάσασθαι σὺν τέκνοις*
*βίον φαεινὸν οὐρανοκτήτου κλέους.*
*Ὅθεν γε καὐτὴ προσμένει τὴν ἐλπίδα*
*πρὸς Χριστὸν αὐτὸν οὐρανοδραμεῖν τότε,*
*ὅταν περ ἥξῃ τοῦ κρῖναι βροτοὺς ὅλους.*

tit. *σύμβιος* 'uxor' tituli pap. Diod. Sic. IV 46 7 *οὐρανοδραμεῖν* : cf. *οὐρανοδρόμος* Tab. Defin. Ad. 41 B 5

tit. *τὴν* om. Ma 1 *βλέπεις* Ma : *-οις* P

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

## CXXI.

**εἰς κοιμηθεῖσαν.**

*Ἐσθλὴ γυναικῶν ἔν τε πίστει καὶ βίῳ,*
*ἡ τῇδε θεῖσα τὸ κλεῶδες σαρκίον,*
*καὶ πνεῦμα δοῦσα τῷ Θεῷ καὶ Δεσπότῃ.*
*Ὅς εὐδόκησεν Εὐδοκίαν εἰκότως*
*ταύτην καλεῖσθαι τῷ φερωνύμῳ τρόπῳ,*
*ὡς εὐδοκηθεῖσάν γε παγκάλοις τρόποις,*
*σὺν ἀνδρὶ κλεινῷ σεμνὸν ἐξοῖσαι βίον,*
*κἂν τῷ τελευτᾶν εὐοδωθεῖσαν κλῖναι,*
*πρὸς πίστιν ὀρθὴν τὸν φύσαντα πατέρα.*

7 *ἐξοῖσαι*: cf. ad 102, 5

8 *εὐοδωθεῖσαν* y: *εὐδ-* s

## CXXII.

**εἰς κοιμηθεῖσαν.**

*Εὔχρηστον ὄντως σκεῦος ἡγιασμένον,*
*ἰσοστατοῦν γε χρυσοκολλήτῳ στέφει,*
*ῥαντοῖς καλοῖσι μαργάροις ηὐγασμένῳ,*
*ἡ τῇδε θεῖσα τὸ τρισόλβιον δέμας.*
*Νέον γὰρ ἀνδρὸς ἐκτομὴν ὑποστάσα,*
*ἥρωος ἄλλου τῷ σθένει καὶ τῷ κλέει,*
*πρὸς Ἀρμενίας τοῖν δυοῖν ὡρμημένων,*
*ἄριστον ᾖδε τοῦτο κέκρικεν μάλα,*
*τὰ πάντα δοῦναι τῷ Θεῷ καὶ Δεσπότῃ,*
*ῥακοστολεῖν δὲ τῷ μοναστικῷ τρόπῳ.*
*Ἴοι κράτιστα τοιγαροῦν ἐν τῷ βίῳ,*
*κόσμον φέρουσαν τὴν ταπεινὴν καρδίαν,*
*ἰσοσμάραγδον τὴν ῥοὴν τῶν δακρύων,*
*ἄγρυπνον ὄμμα καὶ προσευχὴν ὡς φάος·*
*ταύτῃ τελειοῖ καί γε θείως τὸν δρόμον,*
*ἀπροσπέλαστον αἱρετιζόντων πλάνῃ.*
*Διπλοῦν δὲ δῶρον τῷ Θεῷ προσηγμένη,*
*ἔχει τὸ χαίρειν σὺν δικαίοις εἰς ἅπαν.*

2 *ἰσοστατέω* (id. ac *ἰσοσταθμέω*): Liban. decl. 43, 2 3 *μάργαρος* et *-ον* (id. ac *μαργαρίτης*): *Anacreont.* 22, 14 10 *ῥακοστολεῖν* (cf. *ῥάκος*, *στολίζω*): ἅπ. λεγ. 13 *ἰσοσμάραγδον*: ἅπ. λεγ. 15 *δρόμον*: cf. ad 14, 11 16 *ἀπροσπέλαστον*: Strab. I 2, 9 / *πλάνῃ*: cf. ad 33, 12

4 *δέμας* MaP[1]: *σῶμα* P[sl] 7 *ὡρμημένων* P: *ὁρ-* Ma

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

## CXXIII.

***τῇ αὐτῇ.***

*Ὁ χῶρος ἐσθλὸς — καὶ γὰρ Εἰρήνη τάφος —*
*εἰρηνοποιὸν πρὸς Θεὸν σχούσης βίον.*

1 *εἰρήνη* Ma : *-ης* P

## CXXIV.

***εἰς Διονύσιον.***

*Τάφος πέφηνα Διονυσίου μάλα,*
*ξένου μοναστοῦ πυκτικοῦ κατηκόου,*
*πολλοὺς δραμόντος ὀρθοδοξίας δρόμους*
*καὶ μαρτύραθλον ἐξαποίσαντος τέλος.*

2 *πυκτικοῦ* : cf. 5, 1   3 cf. ad 14, 11   4 *μαρτύραθλον* : ἅπ. λεγ. / *ἐξαποίσαντος* : cf. ad 102, 5

## CXXV.

***εἰς εἴσοδον μοναστηρίου.***

*Ἄννης ἀπαρχὴ τῷ Θεῷ καὶ Δεσπότῃ,*
*ἡ τῇδε μάνδρα καὶ μονὴ σεβασμία,*
*ἐπωνυμοῦσα τῆς πανάγνου Παρθένου,*
*καὶ παρθένους φέρουσα νυμφιοκλέως*
*ἀσκητικῶς ζῆν ἐνθέως διαπρέπειν.*
*Ὑπέρ τε λύτρον τῶν ὅλων ἁμαρτιάδων,*
*αὐτῆς γε ταύτης καὶ Λέοντος συζύγου,*
*μεθ᾽ ὧν Ἰωάννου τε, φιλτάτου τέκνου.*

1, 7 *Ἄννης... Λέοντος* : cf. ad 93, 4   2 *μάνδρα* : cf. ad 80, 4   4 *νυμφιοκλέως* : ἅπ. λεγ.

## CXXVI.

***εἰς Θεόφιλον διάκονον.***

*Πολλὴ πρόσεστιν ἡ σεβαστή σοι χάρις,*
*ὅτι πρὸς ἡμῶν οὐδὲν ἐσχηκυῖά τι,*
*εἰ μὴ προσευχῶν τῶν ἁμαρτωλῶν γέρας·*
*οὔπω πέπαυται προσφέρειν ἡμῖν δόσεις,*
*ἅσπερ λαβόντες καὶ πάλιν φιλοφρόνως,*
*προσοίσομέν σοι τῷ φίλῳ τὰ τῶν φίλων.*

1 *προσοίσομεν* Ma : *-ωμεν* Ps

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

## CXXVII.

**εἰς Πάμφιλον τὸν τριμαλέθοντα.**

*Ψυχοφθόρος θὴρ Πάμφιλος δειχθεὶς νέος,*
*ἐξωστρακίσθη τῆς μονῆς τοῦ Προδρόμου.*

tit. *τριμαλέθοντα* (sc. *τρῖμμα ἀλήθοντα?*) cognomen iocose dict. ut vid. 1 *ψυχοφθόρος*: Orph. hymn. 68, 6  2 *μονῆς τοῦ Προδρόμου*: cf. 129, 7

## CXXVIII.

**ἐπιστολὴ εἰς γραμματικόν.**

*Τῇ τριστίχῳ σου χρυσομαργάρῳ φράσει,*
*Σμαραγδότιμον ἀντεπεξάγω χρέος.*
*Αὐτὸς δ' ᾄδοις μοι μουσικοπρεπῶς πάλιν.*

1 *χρυσομαργάρῳ*: Georg. Chart. Call. 4, 11 Gig. cf. ad 122, 3

1 *χρυσομαργάρῳ* MN*y*: *-μάρῳ* V$s^m$  2 *χρέος y*: *-ως* M*x*  3 *πάλιν* M*xy*: *πάλει* $s^m$

## [CXXIX].

**ἐπίγραμμα εἰς τὸν ὅσιον Πατέρα ἡμῶν Θεόδωρον.**

*Δῶρον ἀειζώοιο Θεοῦ, μεγάλοιο ἄνακτος,*
*ἱμερόεν περίπυστον ἐπ' εὐλαβέῃ βιότοιο,*
*οὔνομα Θειόδωρος, ποίμνης ἡγεύμενος ἧκα,*
*νωλεμέως νυχίῃσι λιτῇς ἰδὲ τάξεσιν ἄλλαις,*
*ὑμνοπόλων θεότευκτον ἀγήνορα ὦρσεν ἀοιδήν,*
*Στουδίου ἣν κληΐζουσιν ἀριπρεπέ' ὄλβιον οἶκον,*
*ἱρὸν Ἰωάννοιο Χριστοῦ Προδρόμοιο σοφοῖο.*
*ὅν κεν ἐπ' ἐσθλαῖσι πλῆσεν πλείστῃς χαρίτεσσι,*
*στερρῇς σωφροσύνῃσι καὶ ἁγνείῃς φαέεσσι·*
*ἀλκινόεντ' ἀπέλεθρα παρέσχετο ἤθεα πάντα,*
*νυκτινόμων παθέων αἴσχους ἀπάνευθεν ἐόντα,*
*ἀγλαΐῃς φαέων δὲ ἀνάπλεα πάμπαν ἀγητά.*
*Τοῖσι μνησκομένοις διδάγματι θειόει κέλευθα,*
*ὀκριόεντα † ωπερσας † ἀερσιπότητα δ' εἶχεν.*
*Λευγαλέου καμάτοιο βαρυζύγεο δ' ἔχετε ἄχθους,*
*ἴθματ' ἔχειν πτερόεντα πρὸς οὐρανὸν ἀστερόεντα,*
*ὡς ἄρα Χριστὸς ἔλεξε, βροτῶν πολύολβος ἀρωγός,*
*ἱστίον ξύμπορον περιδέξιον ἅλματι λαμπρῷ,*
*τοῦ δ' ἄπο ἄλλο ἔηκεν Ἀνατόλιός τις ἀμύμων.*
*Ὧι ἔνι ναιετάεσκεν ἀγανὸν θεῖον ἄημα,*
*ἱκόμενος Λυδίηθε μετ' ἄλλους ἡγεμονῆας*

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*οὗτος ἀριφραδέως δέμας ἤραρε νῷ θεολαμπεῖ,*
*μαστεύων Χριστοῖο φαάντα ἴχνια φαιδρά.*
*Οἷα Θεοῖο λάτρις πήξει βιότητι τ' ἀρίστῃ,*
*πᾶσιν ἐπ' εὐλαβέῃ διαπρύσιος οἷος ὁ πρῶτος*
*ἀτρεκείην κραδίῃ φύσιν ἁγνείῃ φορέεσκεν,*
*τρισσοφαοῦς θεότητος ἐὼν πολύαινος ἐραστής,*
*ῥωμαλέως τελέθων περ ἀγακλέα πᾶσαν ἐφετμήν,*
*ἴχνια παντοδαπῶν χαρίτων θεοείδεος ὄλβον,*
*δῶρον ἔχων ἀρετῆς περικαλλέα εἵματα λαμπρά,*
*ἰσοφαῆ φύτλης θεοείδεος οὐρανίοιο.*

3 *θειόδωρος ys* : *-εο-* Mi quid scriptor voluerit inc. / *ποίμνης* ego : *-αις* Ma *-ης* Ps / *ἧκα s* : *ἥ- y* 4 *ἴδε* P cf. Hom. *Δ* 147 : Ma inc. 6 *ἀριπρεπέ'* Ma : *-έ* P 8 *ἐσθλαῖσι* Ma fere : *-οῖς* Ps[1] *-οισι s*[m] 18 *ξύμπορον* ego : *ξυπό-* Ma 21 *ἄλλους* ego : *ἄλους* Ma 24 *πήξεν* fort. scrib. 26 *φύσιν* ego : *φιουν* Ma 27 *ἐραστής* ego : *αἰρ-* Ma

tit. *τὸν* om. Ma

## Appendix

### ( 130 )

**Iambi adversus Iconomachos.**

*Χριστὸς πεφηνὼς ἐξ ἴσου βροτοῖς πόθῳ,*
*ῥεύσαντας ἡμᾶς ἐκνόμως ὡς παγκρότως*
*ἵστησι θείως εἶδος ἔγγραπτον μάλα,*
*στήλας φορήσας τοῖς ἀλοῦσι ἐν σκότει.*
*Τῷ γὰρ καταργεῖ τὰς λαοπλάνους φρένας*
*οὐ κοσμολατρῶν καὶ μόνον πρὸς μωρίαν,*
*ὑπερτέρως δὲ τῶν ἁπλῶς κατ' εἰκόνων.*
*Θεὸς βροτωθεὶς ἐγχαράττεται θέᾳ·*
*ἔκνους γὰρ ὅστις οὐ ῥᾷον τοῦτο φράσοι.*
*Οὐ πᾶσιν, εἰπέ, τὴν ἴσην εἶλε φύσιν,*
*δέσμας φορήσας καὶ συνεισβὰς ἐνθάδε ;*
*Ὦ Χριστόμηνι, πῶς τεχνάζεις ὡς ὄφις ;*
*Ῥῖψον τὸ τυφλόν, γνοὺς ὅτι Χριστὸς φέρει*
*ὡς πᾶς τις εἶδος ὢν σθένος Πατρὸς λόγος.*

* * *

*Οἱ μὴ θέλοντες Χριστὸν ἐν γραφῇ βλέπειν,*
*ἀρνησίχριστοι, κἂν λέγωσι μὴ πέλειν.*

130. TITVLUS *ἴαμβοι θεοδώρου ἡγουμένου στουδίτου* T 2 *παρκράτως* codd. *παγκρότως* Tomadakis 6 *μωρίαν* ego : *-α* ex T Pa(sini) 8 *βρωτωθεὶς* Pa

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*Ἐν τῇ γραφῇ γὰρ ὁ γραφεὶς κατὰ σχέσιν*
*καὶ προσβλέποιτο καὶ γεραίροιτο μάλα.*
*ὃν ἱστοροῦντες οἱ κράτιστοι δεσπόται*
*διαπτύουσι τὴν θεοστυγῆ πλάνην.*
*Ἄκουε, πᾶς τις θίασος Χριστωνύμων·*
*Θεὸς φανεὶς σὰρξ εἰκονίζεται θέᾳ*
*μένων νοητῶς ἄγραφος κατ᾽ οὐσίαν·*
*διπλοῦς γάρ ἐστι καὶ φέρει διττῶς ὅλα,*
*ὅσα πρόσεστι θειότητι τῇ φύσει*
*καὶ τῇ καθ᾽ ἡμᾶς συγγενῶς ἀνθρωπείᾳ·*
*ἀμφοῖν τέλειος τοῖς κατ᾽ ἄμφω γνωρίμοις*
*τὰ θεῖά τε δρῶν καὶ τὰ σαρκὸς ἐμπρέπων·*
*οὐ φυρμὸν ἀμφοῖν οὐ τροπὴν δεδεγμένος.*
*Ὁ γοῦν ἀναιρῶν τὴν θεόγραπτον θέαν,*
*ἄνθρωπον αὐτὸν οὐδαμῶς φάναι λέγοι·*
*κἂν δυστροπεύῃ καὶ τὸ « ναὶ » φάσκῃ μόνον*
*Θεὸν δὲ γυμνὸν οὐ Βαλεντινοφρόνως*
*ὥσπερ φύγοι μὲν τὴν μαχόχριστον πλάνην.*

20 *θεοστυγῆ* Pa   33 *Υαλεντινοφρώνως* Pa

(131.)

**Alphabetus adversus Iconomachos.**

*Ἄνθρωπος ὢν ὁ Χριστὸς ἔγγραπτος πέλει.*
*Βοᾷ γράφεσθαι Χριστὸν εὐσεβὴς ἅπας,*
*Γυμνὸν γράφειν οὐ σάρκα δ᾽ ὄντα τὸν Λόγον.*
*Διπλοῦς ὁ Σωτὴρ γραπτὸς αὖ γὰρ καὶ δίχα·*
*Ἐν εἰκόνι Χριστοῖο τὸν Χριστὸν βλέπεις.*
*Ζῶον γράφοιτο Χριστὸς ὡς ζήσας βίῳ.*
*Ἦν εἶδος ἐν Σωτῆρι τοῦτ᾽ ἐν εἰκόνι.*
*Θεὸς φανεὶς σάρξ καὶ γράφοιτο σὰρξ ἄρα.*
*Ἴνδαλμα πατρὸς Χριστὸς ὡς μητρὸς φέρει.*
*Κυρῶν ὁ Σωτήρ, ὡς γράφει, κῆνσον δίδοις·*
*Λαοπλάνος πᾶς Χριστὸν οὐ γράφειν λέγων.*
*Μάρτυς γ᾽ ἂν εἰκὼν ὡς Θεὸς βροτὸς φάνῃ.*
*Νοῦς αἱρετίζων Χριστὸν οὐ θέλει γράφειν.*

---

131. TITVULUS *τοῦ αὐτοῦ κατ᾽ εἰκονομάχων ἀλφάβητος διὰ ἰαμβικῶν μέτρων ὅτι γραπτὸς ὁ Χριστὸς* HT   6 *ζωὸς* fort. scrib. / *ζήσας* ego : *ῥ-* Pa   7 *ἐν εἰκόνι* ego : *εἰκὼν ἔνι* Pa   10 *κῆνσον* ego (cf. *κῆνσον διδόναι* Matth. 22, 17): *κηνσον* Pa

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94

*Ξεσθεὶς χαρακτὴρ Χριστὸν εἷλεν ἐκ μέσου.*
*Ὁ Χριστός ἐστι τῇ γραφῇ δεδειγμένος·*
*Πᾶς ὀρθοδοξῶν Χριστὸν ὃν γραπτὸν φέρει.*
*Ῥάδαμνος ἁγνῆς Χριστός, ὃν γραπτὸν φέρει.*
*Σῇ, Χριστέ, μορφῇ φροῦδον εἴδωλον πλάνης·*
*Τὸ χρῆμα σεπτὸν Χριστὸν ἐν γραφῇ βλέπειν.*
*Ὑλογραφεῖται Χριστὸς ὡς σὰρξ κἂν λόγος.*
*Φεῦ τῷ γράφεσθαι Χριστὸν εἴργοντι πλάνῳ.*
*Χριστὸς γράφοιτο μὴ Θεὸς δ', ἀλλ' ὡς μέροψ·*
*Ψιλὸς παρ' οὐδὲν Χριστὸς ἐγγεγραμμένος.*
*Ὦ πῶς πλανήτης Χριστὸν ὃς μὴ φῇ γράφειν.*

ANTONIUS GARZYA

4 - 7 - 1958

Institutional Repository - Library & Information Centre - University of Thessaly
01/06/2024 19:19:23 EEST - 3.149.214.94